N. 39 199

# ΑΚΟΛΟΥΘΙΑ

ΕΙΣ ΤΗΝ ΑΝΑΚΟΜΙΔΗΝ ΤΩΝ ΛΕΙΨΑΝΩΝ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΑΘΑΝΑΣΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ

## ΠΑΤΡΙΑΡΧΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

*Ἐρανισθεῖσα ἐκ τῶν χειρογράφων τῆς ἐν Ἁγίῳ Ὄρει Μονῆς τῶν Ἰβήρων.*

---

Ἐκδίδοται τὸ πρῶτον δαπάνῃ τῆς Κοινότητος Λαύκου
(Ἐπαρχίας Βόλου)

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΕΝ ΑΘΗΝΑΙΣ
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΑΡΙΣΤΟΜΕΝΟΥΣ Ζ. ΔΙΑΛΗΣΜΑ
1903

# ΑΚΟΛΟΥΘΙΑ

ΕΙΣ ΤΗΝ ΑΝΑΚΟΜΙΔΗΝ ΤΩΝ ΛΕΙΨΑΝΩΝ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΑΘΑΝΑΣΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ

## ΠΑΤΡΙΑΡΧΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

*Ἐρανισθεῖσα ἐκ τῶν χειρογράφων τῆς ἐν Ἁγίῳ Ὄρει Μονῆς τῶν Ἰβήρων.*

---

Ἐκδίδοται τὸ πρῶτον δαπάνῃ τῆς Κοινότητος Λαύκου
(Ἐπαρχίας Βόλου)

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΕΝ ΑΘΗΝΑΙΣ
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΑΡΙΣΤΟΜΕΝΟΥΣ Ζ. ΔΙΑΛΗΣΜΑ
1903

# ΜΗΝ ΜΑΪΟΣ

**Τῇ Β΄ τοῦ αὐτοῦ Μηνὸς**

## Ἡ Ἀνακομιδὴ τοῦ λειψάνου τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν Ἀθανασίου Ἀρχιεπισκόπου Ἀλεξανδρείας τοῦ Μεγάλου.

Ἑσπέρας; ἐν τῷ μικρῷ Ἑσπερινῷ ἱστῶμεν στίχους Δ΄. καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τοῦ Ἁγίου Ἀθανασίου ἦχος Α΄.

Πανεύφημοι μάρτυρες.

Τοῦ Μάρκου τοῦ θείου γεγονώς, εὐπειθὴς διάδοχος μάκαρ σοφὲ Ἀθανάσιε, ταῖς τούτου γὰρ διδαχαῖς πειθήσας, τοῦ Ἁγίου πνεύματος, τῇ χάριτι λαοὺς κατεφώτισας, τῶν Αἰγυπτίων τε, καταυγάσας τὴν διάνοιαν, καὶ τὴν πόλιν αὐτῶν κατεκόσμησας.

Φωστὴρ πανυπέρλαμπρος Χριστοῦ, σκεῦος καθαρώτατον, ὅλην τὴν αἴγλην τοῦ πνεύματος, χωρῆσαι πίστει τε, Ἐκκλησίας στῦλος, οὐρανὸς πολύφωτος, τὴν δόξαν τοῦ Θεοῦ διηγούμενος, ὤφθης ἀοίδιμε, ταῖς ψυχαῖς ἡμῶν ἱκέτευε, τὴν εἰρήνην τὸν Χριστὸν δωρήσασθαι.

Ἡ μεγαλοπρέπεια τῶν σῶν λόγων Ἀθανάσιε, καὶ τῶν σοφῶν ἀποδείξεων, ἡ παναρμόνιος καὶ ἀκριβεστάτη ἀγωγὴ καὶ μέθοδος, ἐπιστημονικῆς διαθέσεως, καρπὸς γνωρίζεται, καὶ φωτίζει τοὺς προστρέχοντας καὶ σοφίζει τοὺς ἀναγινώσκοντας. Μετέστης ἐκ γῆς πρὸς οὐρανὸν καὶ οἰκεῖς ἐν πνεύ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ὢ τοῦ παραδόξου θαύματος! ὁ βροτὸς τῇ φύσει τῷ Θεῷ προσήγγισε, καὶ χαίρει ἐν οὐρανοῖς καὶ κατοπτεύεται, τοὺς πίστει θεοτερπεῖ ἐπιτελοῦντας αὐτοῦ τὸ μνημόσυνον, τὸ θεῖον καὶ Ἱερὸν τῆς τοῦ λειψάνου σεπτῆς μεταθέσεως, ὁ ἐν Ἱεράρχαις μέγας ὄντως Ἀθανάσιος, οὗ ταῖς θείαις πρεσβείαις τῶν πταισμάτων ἐκλυτρούμεθα.

Σήμερον φαιδρῶς ἀγάλλεται ἐπὶ τῇ ἐνδόξῳ μνήμῃ σου ἡ σύμπασα, ἀγῶνάς σου τοὺς μακροὺς ἀναμιμνήσκουσα, καὶ χαίρουσιν ἐπ᾽ αὐτῇ τὰ τῶν Ἀγγέλων βροτῶν τε συστήματα βοῶντά σοι ἐναργῶς, ἐν Ἐκκλησίαις τὸ Χαίροις καὶ λέγοντες· Σὺ τῶν εὐσεβῶν τὸ κέρας ὕψωσας σαφέστατα, θεολόγῳ σου γλώττῃ, Ἱεράρχα Ἀθανάσιε.

Σήμερον φαιδρῶς ἀγάλλονται, ἐπὶ τῇ ἐνδόξῳ μνήμῃ σου τὰ πέρατα, καὶ χαίρουσι σὺν αὐτοῖς οἱ σὲ δοξάζοντες, εὐφραίνεται ἡ πληθὺς τῶν φιλεόρτων, καὶ αὖθις ὑμνοῦντές σε, τρυφῶσιν Ἀλεξανδρεῖς, σοῦ μνημονοῦντες καὶ χαίροντες κράζουσι· Χαίροις ὁ ἡμῶν προστάτης καύχημα ἡμέτερον· χαῖρε στήριγμα πάντων θεορρῆμον Ἀθανάσιε.

Σήμερον ἡμᾶς συνήγαγεν ὁ φωστὴρ φωστήρων μέγας Ἀθανάσιος, εἰς ὕμνον θεοτερπῆ καὶ εἰς ἑστίασιν καλεῖται πνευματικὴν τοῦ κορεσθῆναι ἡμᾶς θείας χάριτος· προσέθηκε γὰρ ἡμῖν τὰς ἀριστείας αὐτοῦ καὶ τὰ τρόπαια, κατὰ τῶν αἱρετιζόντων καὶ ὑμνῆσαι ἅμα τε τὴν τοῦ θείου λειψάνου πόθῳ τούτου τὴν ἀνάδειξιν.

Αἴγλῃ τριφεγγοῦς Θεότητος ἐλλαμφθεὶς τὰς φρένας, ὄλβιος γεγένησαι, καὶ σθένος παντουργικὸν σὲ ὑπερίσχυσε, κινδύνους καὶ πειρασμοὺς τοῦ ὑποστῆναι καὶ θλίψεις καὶ ἔνεδραν, ἀπό τε τῶν ἀσεβῶν αἱρετιζόντων σοφὲ Ἀθανάσιε, καὶ ἀπὸ



τῶν σὲ φθονούντων· ὅθεν σοῦ δοξάζεται καὶ ἡ νῦν τοῦ λειψάνου μετακόμισις μακάριε.

*Δόξα· ἦχος Α΄.*

Τὸν φωστῆρα τῶν πιστῶν καὶ Ἀποστόλων σύσκηνον, τὸν ἐν ποικίλοις κινδύνοις ἐμπρέψαντα, Ἀθανάσιον τὸν πολύαθλον, δεῦτε λαοὶ ὑμνήσωμεν λέγοντες· Χαίροις ὁ στεῤῥὸς τῆς πίστεως πρόμαχος κατὰ τοὺς προφήτας καὶ Ἀποστόλους· χαίροις ὁ Χριστὸν ἔχων ἐν αὐτῷ, μιμησάμενος ἔργῳ τὸν Παῦλον· χαίροις ὁ σεπτὸς γνώμων τῶν ἀρετῶν, τὸ πολύσοφον στόμα τοῦ λόγου· χαίροις ὁ τῶν πραγμάτων Θεόλεκτος αὐλός, ὁ καταισχύνας Ἄρειον τὸν δείλαιον, καὶ ταῖς μαρμαρυγαῖς τῶν δογμάτων σου περιαυγάσας τὰ πέρατα· χαίροις τὸ τῆς πίστεως στήριγμα, καὶ τῆς Ἐκκλησίας τὸ στερέωμα.

*Καὶ νῦν· τῆς Ἑορτῆς.*

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον, καὶ τὰ Ἀναγνώσματα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα·

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς εἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν, πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν, ἐκ γὰρ τοῦ στόματος αὐτῆς, ἐκπορεύεται δικαιοσύνη. Νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ, καὶ μακάριος ἄνθρωπος ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει, αἱ γὰρ ἔξοδοί μου ἔξοδοι ζωῆς καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν Υἱοῖς ἀνθρώπων, ὅτι ἐγὼ ἡ

σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν, ἐγὼ ἐπκεαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς, ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοιγω ἀπὸ χειλέων ὀρθά· ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου· ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ, μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδεν ἐν αὐτῇ σκολιὸν οὐδὲ στραγγαλιῶδες· πάντα εὐθέα τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν· διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Στόμα δικαίου ἀποστάζει σοφίαν, γλῶσσα δὲ ἀδίκου ἐξολεῖται. Χείλη ἀνδρῶν δικαίων ἐπίστανται χάριτας, στόμα δὲ ἀσεβῶν καταστραφήσεται. Ζυγοὶ δόλιοι βδέλυγμα ἐνώπιον Κυρίου, στάθμιον δὲ δίκαιον δεκτὸν αὐτῷ. Οὗ ἐὰν εἰσέλθῃ ὕβρις, ἐκεῖ καὶ ἀτιμία, στόμα δὲ σοφῶν μελετᾷ σοφίαν. Τελειότης εὐθέων ὁδηγήσει αὐτούς, καὶ ὑποσκελισμὸς ἀθετούντων προνομεύσει αὐτούς. Οὐκ ὠφελήσει ὑπάρχοντα ἐν ἡμέρᾳ θυμοῦ, δικαιοσύνη δὲ ῥύεται ἐκ θανάτου. Ἀποθανὼν δίκαιος, ἔλιπε μετάμελον· πρόχειρος δὲ γίνεται, καὶ ἐπίχαρτος ἀσεβῶν ἀπώλεια. Δικαιοσύνη ἀμώμου ὀρθοτομεῖ ὁδούς, ἀσεβείᾳ δὲ περιπίπτει ἄνομος. Δικαιοσύνη ἀνδρῶν ὀρθῶν ῥύεται αὐτούς, τῇ δὲ ἀσεβείᾳ ἑαυτῶν ἁλίσκονται παράνομοι· τελευτήσαντος ἀνδρὸς δικαίου, οὐκ ὄλλυται ἐλπίς· τὸ δὲ καύχημα τῶν ἀσεβῶν ὄλλυται. Δίκαιος ἐκ θήρας ἐκδύνει, ἀντ᾽ αὐτοῦ δὲ παραδίδοται ὁ ἀσεβής. Ἐν



στόματι παρανόμων, παγὶς πολίταις, αἴσθησις δὲ δικαίων εὔοδος. Ἐν ἀγαθοῖς δικαίων, κατώρθωσε πόλις, καὶ ἐν ἀπωλείᾳ ἀσεβῶν ἀγαλλίαμα. Ἐν εὐλογίᾳ εὐθέων, ὑψωθήσεται πόλις, στόματι δὲ ἀσεβῶν κατασκαφήσεται. Μυκτηρίζει πολίτας ἐνδεὴς φρενῶν, ἀνὴρ δὲ φρόνιμος ἡσυχίαν ἄγει.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, δια τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας· οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Ἡ συνήθης Ἐκτενής. Εἰς τὴν Λιτὴν ψάλλομεν στιχ. Ἰδιόμελα· ἦχος Α΄.

Σταλάξατε τὰ ὄρη γλυκασμόν, καὶ οἱ βουνοὶ ὡς ἀρνία σκιρτήσατε· ἡ Ἐκκλησία τοῦ Θεοῦ σήμερον εὐφροσύνως ἀγαλλομένη βοᾷ, ὅτι ἐλαμπρύνθη μου τὸ κάλλος ὑπὲρ πᾶσαν πόλιν· ἰδοὺ γὰρ τῶν Ἀρχιερέων τὸ μέγα κειμήλιον, ὁ μέγας Ἀθανάσιος τὴν πορείαν πρὸς οὐρανὸν ἐποιήσατο· δεῦτε οὖν φιλέορτοι τῶν ὀρθοδόξων τὸ σύστημα χοροστατήσαντες ἅμα, τὴν θείαν λάρνακα, ἰαμάτων πλήμμυραν

λαβόντες παρ' αὐτῆς· ἱκετεύσωμεν αἰτήσασθαι Χριστὸν τὸν Θεόν, τοῦ ῥυσθῆναι τὴν οἰκουμένην ἀπὸ πάσης αἱρέσεως.

Ὁ αὐτός.

Ἀειλαμπὴς φωστὴρ ἐν κόσμῳ ἀνεδείχθης, Ἱεράρχα Χριστοῦ θεόφρον Ἀθανάσιε, λόγον ζωῆς ἐπέχων, δι' οὗ τὸ σκότος τῆς ἀγνοίας, ἐκ τῶν ἀνθρωπίνων ψυχῶν, χριστομιμήτως ἀπελάσας, τὸ φῶς τῶν θείων ἐντολῶν, αὐταῖς ἐνεφύτευσας, καὶ νυμφικῶς τῷ Δεσπότῃ λελαμπρυσμένας παρέστησας, τὸ δοθέν σοι τάλαντον, θεαρέστως ἐπαυξήσας· εἰσελθὼν οὖν εἰς τὴν χαρὰν τοῦ Κυρίου σου, ἀδιαλείπτως πρέσβευε ὑπὲρ τῶν πίστει προσκυνούντων, τὴν τῶν λειψάνων σου θείαν λάρνακα.

Ὁ αὐτός.

Ὡς ὀφθαλμὸς Ἐκκλησίας, καὶ στῦλος εὐσεβείας Ἱεράρχα τρισόλβιε Ἀθανάσιε χρηματίσας, ἐφώτισας ταύτην, στηρίξας τοῖς ἐνθέοις δόγμασι ταῖς διδαχαῖς σου· διὸ καὶ νῦν μὴ ἐλλίπῃς, φρουρεῖν καὶ περισώζειν ἐξ ἐχθρῶν ὁρατῶν καὶ ἀοράτων, ὡς προστάτης ἡμῶν ἀκλινής, καὶ πρέσβυς πρὸς Κύριον ἀκοίμητος.

Ὁ αὐτός.

Ἱεραρχῶν τὸ θεῖον κειμήλιον πάτερ Ὅσιε Ἀθανάσιε, σὺ ἐν ἀρεταῖς ἀναδέδειξαι· ὅθεν τῆς Ἐκκλησίας προΐστωρ γενόμενος, αἱρεσιάρχας ἐξώθησας, καὶ τοῦ Ἀρείου τὸ βλάσφημον, συνοδικῶς εἰς γῆν κατηδάφισας· διὸ ὡς θαυμαστὸς ἐν ἔργῳ καὶ λόγῳ, τὸν Σωτῆρα ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ αὐτός.

Ἀγάλλεται σήμερον ἡ Ἐκκλησία τοῦ Θεοῦ λαμπρυνομένη τῇ χάριτι, καὶ πιστῶς πανηγυρίζει, τῶν φιλεόρτων τὰ συστήματα, ἐπὶ τῇ ἐπανόδῳ τοῦ τιμίου λειψάνου σου,



Ὅσιε πάτερ Ἀθανάσιε πολύαθλε, καὶ δοξάζει Χριστὸν τὸν διὰ σοῦ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

Ἦχος Β'.

Λαβὼν ἐν χερσὶ τοὺς οἴακας, τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, Ἱεράρχα τρισμάκαρ Ἀθανάσιε, εἰς ὅρμον σωτήριον ταύτην κατεύθυνας, τῶν ἐχθρῶν ναυαγίων καλῶς αὐτὴν διασώσας, ὡς κυβερνήτης πανάριστος· ὅθεν παρρησίαν ἔχων πρὸς Κύριον ἐκτενῶς ἱκέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὁ αὐτός.

Ἀγγελικὸν βίον ἐν γῇ ἐπιδειξάμενος Ἱεράρχα Ἀθανάσιε ψήφῳ Θεοῦ τὴν ποιμαντορικὴν ῥάβδον ἐνεχειρίσθης, καὶ ἐν καθέδρᾳ Ἀρχιερέων καθίσας τὸν Κύριον τοῖς ἐνθέοις ἔργοις σου ἐδόξασας· διόπερ κατήντησας εἰς μάνδραν οὐράνιον, ἔνθα ὁ πρῶτος ποιμὴν καὶ μέγας Ἀρχιερεύς, ἀπαύστως τὴν ὑμνῳδίαν αὐτῷ ἀναπέμπων, καὶ εἰρήνην καὶ δεινῶν ἀπαλλαγήν, τῇ σῇ ποίμνῃ βραβεύων ταῖς πρεσβείαις σου.

*Δόξα·* ἦχος Πλ. Β'.

Σήμερον ἀνέτειλεν ἡμῖν τοῦ Ἱεράρχου ἡ παγκόσμιος πανήγυρις, ὡς ἔαρ ἡδύπνοον εὐωδιάζουσα καὶ πάσας συγκαλοῦσα τὰς Ἐκκλησίας πρὸς εὐφροσύνην μυστικήν· ἰδοὺ γὰρ παραγίνεται τῇ ἐτησίῳ μνήμῃ χάριτας νέμων πνευματικάς, ὁ μέγας φωστὴρ χριστομύστης Ἀθανάσιος, ὁ λάμψας ἐν κόσμῳ εὐσεβείας ταῖς ἀκτῖσι, καὶ σκότος διώξας τῆς Ἀρείου μανίας· ἐκ τοῦ ὕψους τῆς καθέδρας ὡς ἀπὸ λυχνίας ὑψηλῆς, ἐν ᾗ ἀξίως ἐτέθη τῇ ἄνωθεν προμηθείᾳ, τὰς αὐγὰς ἐξαστράπτων τῆς χάριτος· οὐ γὰρ ἔδει τὸν λύχνον ὑπὸ τὸν μόδιον κρύπτεσθαι· διὸ πάντες αὐτὸν κατὰ χρέος ἀνυμνήσωμεν, ὡς κήρυκα τῆς ἀληθείας, καὶ τοῦ θρόνου τῶν Ἀλεξανδρέων κοσμήτορα, καὶ πρεσβεύοντα ὑπὲρ τῶν ψυχῶν ἡμῶν·

*Καὶ νῦν· τῆς ἑορτῆς.*

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια. Ἦχος πλ. Α΄.

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις ἀτελευτήτου ζωῆς, ἐπωνυμία ἀληθῶς διαλάμπουσα, τρυγὼν τε ὡραιοτάτη, σὺν νεοττοῖς ἱεροῖς, καὶ τῷ ὁμοζύγῳ ἐκπετάσασα, ἐκ γῆς πρὸς οὐράνια, ἔνθα νέφος εὐφραίνεται σεπτῶν Μαρτύρων, ἔνθα φῶς τὸ ἀνέσπερον, ὅπου ἄπαυστος εὐφροσύνη γνωρίζεται· τάγματα ἐπουράνια Ἁγίων λαμπρότητες, ὅπου ὁ ἦχος ὁ Θεῖος ἑορταζόντων ἀκούεται, Χριστὸς ἔνθα ὁ δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Στιχ. *Τὸ στόμα μου λαλήσει σοφίαν.*

Χαίροις ὁ Ἱεράρχης Χριστοῦ, ὁ τροπωσάμενος Ἀρείου παράταξιν, δυνάμει τῶν σῶν ῥημάτων, ὁ τῶν πιστῶν στηριγμός, ὁ πολλοῖς κινδύνοις ὠνησάμενος, Θεοῦ τὴν οὐράνιον βασιλείαν πολύαθλε, ἐν ᾗ χορεύων, καὶ μεθέξει θεούμενος καὶ λαμπόμενος καθαραῖς διαδόσεσι· μέμνησο τῶν τιμώντων σου τὴν μνήμην τὴν ἔνδοξον, καὶ προσκυνούντων ἐν πίστει τὴν τῶν λειψάνων σου λάρνακα ἀφ᾽ ἧς ἀναβλύζεις, τοῖς αἰτοῦσιν εὐρωστίαν καὶ μέγα ἔλεος.

Στιχ. *Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται.*

Ὄντως ὡς μυροθήκη τερπνή, τὰ τῶν θαυμάτων βρύει ῥεῖθρα Θεόσοφε, ἡ λάρναξ ἡ σὴ ἐν κόσμῳ, καὶ ἰαμάτων ῥοαῖς, τὰς ψυχὰς μυρίζει τῶν τιμώντων σε, Χριστοῦ τῶν χαρίτων γάρ, τοῖς ἀΰλοις ἀρώμασι καταπλουτοῦσα, εὐωδίαν δεδώρηται, τὴν ἀείζωον τοῖς ἐν πίστει προστρέχουσι· ὅθεν καὶ ἀπολαύοντες, πιστοὶ τῶν τοῦ πνεύματος, μύρων λειψάνων σεπτῶν σου, κατατρυφῶμεν τῆς ἄνωθεν τρυφῆς καὶ αἰτοῦμεν, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.



*Δόξα· ἦχος πλ. α΄.*

Τὸ κειμήλιον τοῦ λόγου, τὸ θεῖον ἐνδιαίτημα τοῦ Ἁγίου πνεύματος, ἐν ᾧ ὁ τῆς χάριτος πλοῦτος τεθησαύρισται, τὸν τῆς ἀθανασίας ἐπώνυμον, πάντες ὦ φιλέορτοι, ἐγκωμιάσωμεν λέγοντες· Χαίροις πατέρων ἀκρότης Ἱερομύστα Ἀθανάσιε· χαίροις ὁ τῆς πίστεως ῥάδαμνος, καὶ τῆς Ἐκκλησίας θεμέλιον ἀρραγές· χαίροις ὁ τὴν ἀχλὺν τῶν αἱρέσεων, τῶν περάτων ἐξαφανίσας, καὶ νῦν τῷ ποθουμένῳ ἐπαπολαύων τρισηλίῳ φωτί, ἐκτενῶς ἱκέτευε, σωθῆναι τὰς ψυχὰς τῶν ἐκ πόθου ἑορταζόντων, τὴν τῶν λειψάνων σου θείαν ἐπάνοδον.

*Καὶ νῦν· τῆς ἑορτῆς.*

Τὸ Νῦν ἀπολύεις· τὸ Τρισάγιον· ὁ Ἱερεύς. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία· καὶ ψάλλομεν Ἀπολυτίκιον τοῦ Ἁγίου Ἀθανασίου· ἦχος α΄.

Τοῦ λίθου σφραγισθέντος.

Ἀθάνατον ἐκτήσω Ἀθανάσιε εὔκλειαν, τὰς αἱρέσεις ἐκτίλας Ἱεράρχα τοῖς λόγοις σου· καὶ σπείρας διδάγματα ζωῆς, κατῄσχυνας Ἀρείου τὰς βουλάς· διὰ τοῦτό σε καὶ αὖθις οἱ εὐσεβεῖς, τιμῶντες ἀναβοῶμεν· Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ· Δόξα τῷ σὲ θαυμαστώσαντι· δόξα τῷ δωρησαμένῳ σε, ἡμῖν πρέσβυν καὶ πρόμαχον.

Ἕτερον ὅμοιον.

Δεῦτε πάντες ἐγκωμίων καταστέψωμεν ᾄσμασι τὴν τοῦ πανιέρου λειψάνου Ἀθανασίου τοῦ μάκαρος, μετάθεσιν καὶ γὰρ παρὰ Θεοῦ, ἠξίωται μεγίστων δωρεῶν, τοῖς αἰτοῦσι τοῦ βραβεύειν ἰατρείας, ψυχῶν καὶ σωμάτων τε· ὅθεν δόξαν προσοίσωμεν Θεῷ καὶ ὕμνον ἀναμέλψωμεν, τῷ ἡμῖν δεδωκότι, φρουρὸν αὐτόν τε καὶ πρύτανιν.

*Καὶ νῦν· Θεοτοκίον.*

Τό: Θεοτόκε παρθένε· ἡ εὐλόγησις τῶν ἄρτων.
Καὶ ἀνάγνωσις εἰς τὸν Ἅγιον Ἀθανάσιον.

## Εἰς τὸν Ὄρθρον.

Μετὰ τὸν ἑξάψαλμον· τὸ Θεὸς Κύριος. Τὰ ἐν τῷ Ἑσπερινῷ Ἀπολυτίκια καὶ τὸ Θεοτοκίον ἅπαξ. Τὸ ψαλτήριον· καὶ ὁ πολυέλαιος. Εἶτα ψάλλομεν Καθίσματα τοῦ Ἁγίου Ἀθανασίου.

Ἦχος πλ. Δ΄.

Τὴν σοφίαν καὶ λόγον.

Ἀποστόλων τοὺς τρόπους καὶ τὰς φωνάς, ἐκμιμούμενος ὤφθης παναληθῶς, ὡς Πέτρος γὰρ ἐνώπιον, τῆς Συνόδου ἐκήρυξας, τῷ Θεῷ Πατρὶ λόγον, Υἱὸν ὁμοούσιον, Ἰωάννου πλουτίσας Θεόφθογγα ῥήματα, ὥσπερ δὲ ὁ Παῦλος, τὴν ψυχὴν ὑπὲρ ποίμνης, τέθεικας ἀοίδιμε, κατὰ δὲ τὸν πρωτόκλητον τὸν ποθούμενον ἔδειξας· διὸ πρέσβευε σὺν αὐτοῖς τῷ Χριστῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, ταῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

*Δόξα·* ἕτερον ὅμοιον.

Τῆς ἀρρήτου σοφίας Θεοπτικῶς, ἐξαντλήσας τὸν πλοῦτον τὸν μυστικόν, πᾶσιν ἐθησαύρισας, ὀρθοδοξίας τὰ νάματα, τῶν μὲν πιστῶν τὰς καρδίας, ἐνθέως εὐφραίνοντα, τῶν δὲ ἀπίστων τὰ δόγματα, ἀξίως βυθίζοντα· ὅθεν δι᾽ ἀμφοτέρων εὐσεβείας ἱδρῶσιν, ἐδείχθης ἀήττητος, τῆς Τριάδος ὑπέρμαχος Ἱεράρχα Ἀθανάσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

*Καὶ νῦν· τῆς ἑορτῆς.*

Μετὰ τὴν Β΄. στιχολογίαν. Κάθισμα τοῦ Ἁγίου Ἀθανασίου.



Τὴν σοφίαν καὶ λόγον.

Τὴν σοφίαν τοῦ λόγου καταμαθών, καὶ Ἀρείου τὴν πλάνην καταβαλών, τῷ κόσμῳ ἐκήρυξας, τὴν ὀρθόδοξον πίστιν, τοῦ γὰρ Πατρὸς τὸν Λόγον, Χριστὸν τὴν ζωὴν ἡμῶν, ἀληθῶς ὑπάρχειν ἐτράνωσας σύνθρονον· ὅθεν ὁμοφρόνως ἡ Ἐκκλησία δοξάζει, Τριάδα ὁμοούσιον, ἐν μονάδι Θεότητος, Θεοφόρε Ἀθανάσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

*Δόξα·* ἕτερον ὅμοιον.

Τῇ δυνάμει τῶν λόγων τῶν θεϊκῶν, καθελὼν τὰς αἱρέσεις τὰς ζοφερὰς πάντα τὰ φρυάγματα τοῦ Ἀρείου ἐβύθισας· τοῖς γὰρ βροτοῖς τὸ πνεῦμα, Θεὸν ἀνεκήρυξας καὶ τῶν χειρῶν ἐκτάσει, ἐχθροὺς ἐθανάτωσας, πᾶσαν ἐκδιώξας Σαβελλίου λατρείαν καὶ πάντα φρονήματα Νεστορίου κατήργησας Ἱεράρχα Ἀθανάσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι, πόθῳ τὴν ἁγίαν μνήμην σου.

*Καὶ νῦν· τῆς ἑορτῆς.*

Μετὰ τὸν πολυέλαιον, Κάθισμα τοῦ Ἁγίου Ἀθανασίου.

Τὴν σοφίαν καὶ λόγον.

Ὡς τοῦ σκεύους ὑπάρχων τῆς ἐκλογῆς, Ἀθανάσιε μάκαρ σὺ ζηλωτής, κινδύνους ὑπέμεινας καὶ διωγμοὺς ὑπὲρ πίστεως, καὶ ὡς αὐτὸς τὴν Ῥώμην κατέλαβες πάνσοφε, πανταχοῦ κηρύσσων, Τριάδος τὸ ὁμότιμον· ὅθεν καὶ τὸν δρόμον ἀποστολικῶς ἐκτελέσας, ἀξίως ἀπείληφας, ἐκ Κυρίου τὸν στέφανον, καταισχύνας Μακεδόνιον, καὶ τὸν ἄθεον Ἄρειον· διὸ πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων

ΑΝΑΓΝΩΣΤΗΡΙΟΝ ... ΒΙΒΛΙΟΘΗΚΗ ... ΣΥΛΛΟΓΗ ΝΤΟΡΗ ΣΠΑΠΑ...

ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

*Δόξα·* ὅμοιον.

Ἡ τῶν λόγων σου χάρις τῶν θεϊκῶν, καὶ δογμάτων τὸ ὕψος τὸ μυστικόν, θείας ἡμῖν γέγονεν ἀναβάσεως κλίμαξ· πνευματικὴν γὰρ πάτερ κτησάμενος σάλπιγγα ἐν αὐτῇ ἐκήρυξας τὰ θεῖα διδάγματα· ὅθεν καὶ εἰς τόπον κατεσκήνωσας χλόης μισθοὺς τῶν ἀγώνων σου κομισάμενος· Ὅσιε, Ἱεράρχα Ἀθανάσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

*Καὶ νῦν· τῆς ἑορτῆς.*

Εἶτα οἱ Ἀναβαθμοί. Τὸ Α΄. Ἀντίφωνον τοῦ Δ΄. ἤχου.

Προκείμενον· ἦχος Δ΄.

Τὸ στόμα μου λαλήσει σοφίαν

Στίχ. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη.

Πᾶσα πνοή. Εὐαγγέλιον κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος· ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας

Ἀνάστασιν Χριστοῦ· εἰ τύχοι πρὸ τῆς Ἀναλήψεως ἡ Κυριακή

ὁ Ν΄ ψαλμός. Δόξα· Ταῖς τοῦ Ἱεράρχου.

Καὶ νῦν· Ταῖς τῆς Θεοτόκου

Ἐλέησόν με ὁ Θεός· τὸ Ἰδιόμελον· ἦχος πλ. Β΄.

Σήμερον πιστοὶ συνελθόντες, ἐπὶ τῇ μνήμῃ τοῦ σεπτοῦ Ἱεράρχου, ψαλμικῶς αὐτὸν μακαρίσωμεν λέγοντες· μακάριος εἶ καὶ καλῶς σοι ἔσται πάτερ Ἱερώτατε, τὴν Ἐκκλησίαν ὡς ἄμπελον εὐθυνοῦσαν τῷ Δεσπότῃ σου παραστησάμενος, καὶ τοὺς διὰ τῆς κολυμβήθρας υἱούς σου ὡς νεόφυτα ἐλαιῶν, τῆς μυστικῆς κύκλῳ τραπέζης, τῇ νοουμένῃ τροφῇ ἐπηύξησας τῆς διδασκαλίας σου· διὸ εὐλόγησέ σε



Κύριος, καὶ δέδωκέ σε τὰ ἀγαθὰ τῆς ἄνω Ἱερουσαλήμ, ἐν ᾗ ἡμῶν μνήσθητι, Ἱεράρχα Θεόφρον Ἀθανάσιε·

Ὁ ἱερεὺς τὸ Σῶσον ὁ Θεὸς τὸν λαόν σου.

Οἱ κανόνες· ὁ τοῦ Πάσχα εἰς Δ΄. τοῦ Ἁγίου ὁ πρῶτος εἰς Δ΄. καὶ ὁ τοῦ πλ. Δ΄. εἰς ς΄.

Ὁ κανὼν τοῦ Πάσχα.

Ὠδὴ α΄· ἦχος α΄.

Ὁ Εἱρμός.

« Ἀναστάσεως ἡμέρα λαμπρυνθῶμεν λαοί· Πάσχα » Κυρίου Πάσχα· ἐκ γὰρ θανάτου πρὸς ζωήν, καὶ ἐκ γῆς » πρὸς οὐρανόν, Χριστὸς ὁ Θεὸς ἡμᾶς διεβίβασεν, ἐπινίκιον » ᾄδοντας». (Δίς)

Καθαρθῶμεν τὰς αἰσθήσεις καὶ ὀψώμεθα, τῷ ἀπροσίτῳ φωτὶ τῆς ἀναστάσεως, Χριστὸν ἐξαστράπτοντα καὶ Χαίρετε φάσκοντα, τρανῶς ἀκουσώμεθα ἐπινίκιον ᾄδοντες.

Οὐρανοὶ μὲν ἐπαξίως εὐφραινέσθωσαν, γῆ δὲ ἀγαλλιάσθω, ἑορταζέτω δὲ κόσμος, ὁρατός τε ἅπας καὶ ἀόρατος· Χριστὸς γὰρ ἐγήγερται, εὐφροσύνη αἰώνιος.

*Κανὼν τοῦ Ἁγίου Ἀθανασίου· ἦχος α΄.*

Ἀναστάσεως ἡμέρα.

Ἀναστάσεως ἡμέρα λαμπρυνθῶμεν λαοί· σήμερον γὰρ ἡ μνήμη, Ἀθανασίου τοῦ λαμπροῦ, ἑωσφόρου τῶν πιστῶν ἀνατείλασα, ἡμᾶς συνεκάλεσε πρὸς πανήγυριν ἅπαντας. (Δίς)

Καθαρθεὶς νοὸς τὰς ὄψεις, ἐθεάσω Χριστὸν φῶς τὸ τοῦ κόσμου Πάτερ, φῶς τὸ φωτίζον ἀληθῶς, πάντα ἄνθρωπον εἰς κόσμον ἐρχόμενον, σοφὲ Ἀθανάσιε, οἰκουμένης ἀγλάϊσμα.

Οὐρανοὶ μὲν ἐπαξίως νῦν εὐφραίνονται, γῆ δὲ χορεύει πᾶσα, τὴν σὴν πανήγυριν πιστῶς ἑορτάζουσα, σοφὲ Ἀθανάσιε Τριάδος ὑπέρμαχε, Ἐκκλησίας τὸ στήριγμα.

*Ἕτερος κανών*

Ποίημα Ἰωάννου Εὐχαΐτων.

Ἦχος πλ. Δ'. Ἁρματηλάτην Φαραώ.

Ὠδὴ α'.

Τὸ χαριτόπνουν τῆς σοφίας ὄργανον, καὶ μουσικώτατον, ἡ μελιχρὰ γλῶσσα καὶ πνευματοκίνητος, ὁ νοῦς ὁ χρυσοστόλιστος, ἡ βροντόφωνος σάλπιγξ, ἡ διηχοῦσα τὰ πέρατα, ἔμπνευσόν μοι χάριν ὑμνοῦντί σε.

Ῥεῖθρον γλυκὺ καὶ διηδὲς καὶ πότιμον, βλύζει ἡ γλῶσσά σου μελισταγὲς νᾶμα, πόμα χαριτόβρυτον, πᾶσι κιρνᾷ τὸ στόμα σου, τὰ δὲ χείλη σου στάζει γλεῦκος ἡδὺ κατανύξεως, μυστικόν τε νέκταρ ἰσάγγελε.

Σὺ τὴν καρδίαν ἱερὸν δειμάμενος, θυσιαστήριον καὶ τὴν ψυχὴν πήξας ὡς ἁγίαν τράπεζαν τὸν νοῦν Ἀρχιερέα δὲ καταστήσας τῷ λόγῳ, ἱέρευσας τὴν προαίρεσιν, ὁλοκαυτωθεῖσαν πυρὶ πειρασμῶν.

Ὡς χρυσαυγίζων σελασφόρος ἥλιος, προσεποχούμενος τῶν ἀρετῶν θείῳ χρυσακτίνῳ ἅρματι, τὸ λογικὸν στερέωμα, νοητῶς διιππεύεις, μαρμαρυγαῖς τῶν δογμάτων σου, ἅπαντα φωτίζων τὰ πέρατα.

*Δόξα Πατρί.*

Ὕλης ῥεούσης καὶ φθαρτῆς ἠλόγησας, εὐλόγως πάνσοφε, τὰ γεηρὰ πάντα ἀποτιναξάμενος, ὡς κόνιν εὐαπόθητον, τοῦ Χριστοῦ δὲ τῷ πόθῳ ἀναπτερούμενος, ἔσχηκας ἐν τοῖς οὐρανοῖς τὸ πολίτευμα.

*Καὶ νῦν· Θεοτοκίον.*

Ὁ ἐν τοῖς κόλποις τοῦ Πατρὸς καθήμενος, μονογενὴς ὡς Υἱὸς καὶ νοεροῖς θρόνοις ἐπαναπαυόμενος, ἐν τοῖς ἀχράντοις



κόλποις σου, ὡς βρέφος κάθηται κόρη, θρόνον γὰρ ἅγιον ἔμψυχον, σὲ ἐπὶ τῆς γῆς κατεσκεύασεν.

Καταβασία· Ἀναστάσεως ἡμέρα.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

«Δεῦτε πόμα πίωμεν καινόν, οὐκ ἐκ πέτρας ἀγόνου » τερατουργούμενον, ἀλλ' ἀφθαρσίας πηγήν, ἐκ τάφου » ὀμβρήσαντος Χριστοῦ, ἐν ᾧ στερεούμεθα». (Δίς)

Νῦν πάντα πεπλήρωται φωτός, οὐρανός τε καὶ γῆ καὶ τὰ καταχθόνια· ἑορταζέτω γοῦν πᾶσα κτίσις, τὴν Ἔγερσιν Χριστοῦ, ἐν ᾗ ἐστερέωται.

Χθὲς συνεθαπτόμην σοι Χριστέ, συνεγείρομαι σήμερον ἀναστάντι σοι· συνεσταυρούμην σοι χθές· αὐτός με συνδόξασον Σωτήρ, ἐν τῇ βασιλείᾳ σου.

Τοῦ Ἁγίου Ἀθανασίου· ὁ αὐτός.

Δεῦτε πόμα πίωμεν καινόν, ἐκ πηγῆς ἀενάου τοῦ ἀρχιποίμενος, Ἀθανασίου τοῦ σοφοῦ, Χριστὸν τοῦ κηρύξαντος λαμπρῶς, εἰς κόσμου τὰ πέρατα. (Δίς)

Νῦν πάντα πληροῦνται χαρμονῆς, ὁρατά τε καὶ τὰ ἀόρατα· συνεορτάζει καὶ γὰρ ἡ κτίσις ἡ σύμπασα, τῇ σῇ πανηγύρει ἔνδοξε.

Χθὲς συνεσταυρούτω τῷ Χριστῷ, ἐξορίαις ὁ μέγας ὄντως Ἀθανάσιος, συνεξανέστη δ' αὐτῷ κύκλῳ τῆς θείας καὶ λαμπρᾶς, αὐτοῦ πανηγύρεως.

Ἄλλος. Οὐρανίας ἁψῖδος.

Γαληνότατον ὅρμον, σὲ καὶ χρυσῆν γέφυραν, ἔθετο Θεὸς τοῖς ἐν ζάλῃ χειμαζομένοις παθῶν, τούτους ἰθύνοντα πρὸς μετανοίας λιμένα καὶ διαπορθμεύοντα, πρὸς ἀπαθείας τὴν γῆν.

Λιγυρὰν χελιδόνα τοῦ νοητοῦ ἔαρος, ἔγνωμεν φωνοῦσαν

ἐν ἄλσει τοῦ βίου Ὅσιε, σὲ Ἀθανάσιε πρὸς μετανοίας τὴν θάλψιν, συγκαλοῦντα ἅπαντας, ῥιγῶντας πάθεσι.

Σοὶ τὸ ζῆν κατὰ Παῦλον, ἦν ὁ Χριστὸς πάνσοφε, τὸ ὑπὲρ ἐκείνου θανεῖν δὲ κέρδος διψώμενον, ὃν καὶ μιμούμενος, ὑπὲρ τοῦ κόσμου τιθέντα τὴν ψυχήν σου ἔθηκας, ὑπὲρ τῆς ποίμνης σου.

Ὡς πηγὴ ζωηφόρος, ὡς ποταμὸς ἔμψυχος, ὡς ὑπερχειλὴς καὶ πλημμυρῶν χειμάρρους χάριτος, ῥείθροις τῶν λόγων σου, ψυχῶν ἀρούρας πιαίνεις, κυκλικῶς τὴν σύμπασαν, περιερχόμενος.

*Δόξα Πατρί.*

Ὡσεὶ βέλη καρδίας τῶν δυσμενῶν βάλλοντα, οὕτω τῆς τιμίας σου γλώσσης, πάτερ οἱ ἔλεγχοι ὤφθησαν βάλλοντες, αἱρετιζόντων τὰ στέρνα οἵ σε καὶ ὡς δύσχρηστον, φθόνῳ ἐξώρισαν

*Καὶ νῦν· Θεοτοκίον.*

Προστασίαν καὶ σκέπην ζωῆς ἐμῆς τίθημι σὲ Θεογεννῆτορ Παρθένε, σύ με κυβέρνησον, πρὸς τὸν λιμένα σου τῶν ἀγαθῶν ἡ αἰτία, τῶν πιστῶν τὸ στήριγμα, μόνη πανύμνητε.

Καταβασία· Δεῦτε πόμα πίωμεν καινόν.

Ἡ Αἴτησις· καὶ ψάλλομεν Κάθισμα τοῦ Ἁγίου Ἀθανασίου· ἦχος πλ. α'

Τὸν συνάναρχον λόγον.

Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι, δογματίσας τῷ κόσμῳ ὡς ὁμοούσιον, τοὺς πιστοὺς ὡς ἀληθῶς κατεφώτισας, καὶ αἱρέσεων δεινὰς ἐρεσχελίας καθελών, παρίστασαι τῷ Κυρίῳ ἡμῶν ἱκετεύων, τῶν σὲ ὑμνούντων Ἀθανάσιε.

*Δόξα·* ἕτερον ὅμοιον.

Ἱεράτευμα θεῖον τὸν Ἀθανάσιον, τὸν μιμητὴν τοῦ Δεσπότου καὶ Ἰσαπόστολον, Ἀλεξανδρέων τε φρουρόν, ἡμῶν



δὲ στήριγμα εὐφημήσωμεν ᾠδαῖς ἀνυμνοῦντες εὐσεβῶς, τὴν μνήμην καὶ τὴν Ἁγίαν τοῦ πανιέρου λειψάνου σεπτὴν μετάθεσιν τοῦ Τρισμάκαρος.

*Καὶ νῦν· τῆς ἑορτῆς.*

Ὠδὴ Δ'. ὁ Εἱρμός.

« Ἐπὶ τῆς θείας φυλακῆς ὁ θεηγόρος Ἀββακούμ, στήτω » μεθ' ἡμῶν καὶ δεικνύτω φαεσφόρον Ἄγγελον, διαπρυσίως » λέγοντα· Σήμερον σωτηρία τῷ κόσμῳ, ὅτι ἀνέστη Χριστὸς » ὡς παντοδύναμος ».

Ἄρσεν μὲν ὡς διανοῖξαν τὴν παρθενεύουσαν νηδύν, πέφηνε Χριστός· ὡς βροτὸς δέ, ἀμνὸς προσηγόρευται· ἄμωμος δέ, ὡς ἄγευστος κηλῖδος τὸ ἡμέτερον Πάσχα· καὶ ὡς Θεὸς ἀληθής, τέλειος λέλεκται.

Ὡς ἐνιαύσιος ἀμνός, ὁ εὐλογούμενος ἡμῖν, στέφανος χρηστὸς ἑκουσίως, ὑπὲρ πάντων τέθυται, Πάσχα τὸ καθαρτήριον, καὶ αὖθις ἐκ τοῦ τάφου ὡραῖος, δικαιοσύνης ἡμῖν ἔλαμψεν ἥλιος.

Ὁ θεοπάτωρ μὲν Δαυῒδ πρὸ τῆς σκιώδους κιβωτοῦ, ἥλατο σκιρτῶν· ὁ λαὸς δὲ τοῦ Θεοῦ ὁ ἅγιος τὴν τῶν συμβόλων ἔκβασιν, ὁρῶντες εὐφρανθῶμεν ἐνθέως, ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος.

Τοῦ Ἁγίου Ἀθανασίου ὁ αὐτός.

Ἐπὶ τῆς θείας φυλακῆς, τείνας τὸ ὄμμα τῆς ψυχῆς, εἶδες ὃν ἐπόθεις Δεσπότην, ὁ καλῶς ἰθύνοντα πρὸς τρίβον σε σωτήριον, βίου τε συνεργὸν ἐπεσπάσω καὶ ὁδηγὸν ἀπλανῆ μάκαρ Ἀθανάσιε. (Δίς)

Ἄρσεν μὲν ὡς διανοῖξαν τὴν παρθενεύουσαν νηδὺν πέφηνε Χριστός, σὺ δ' ἀνδρείως κατ' ἐχθρῶν ἠρίστευσας τῶν νοητῶν

καὶ γέγονας ἄμωμος ἐν ὁδοῖς ταῖς ἐκείνου νεανικῶς, πορευθεὶς πάτερ Ἀθανάσιε.

Ὡς ἐνιαύσιος ἡμῖν ἡ σὴ φωσφόρος ἑορτή, ἦλθε σοι πολύαθλε κύκλος, καὶ ὡς φῶς ἀνέτειλε κατευφραίνων τὰ σύμπαντα, πάντων σοῦ τῶν πιστῶς δεομένων, καὶ προσκυνούντων Χριστὸν τὸν σὲ δοξάσαντα.

Ἄλλος. Σύ μου ἰσχὺς Κύριε.

Ἴσον Πατρὶ Υἱὸν καὶ Πνεῦμα τὸ Ἅγιον, ὀρθοδόξως δογματίζων πάνσοφε, τὸν βορβορώδη καὶ θολερόν, νοῦν τὸν τῶν βλασφήμων, ἀνατροπὴν θολερὰν πολλοῦ:, καὶ ἅλμην ἀσεβείας, τὸν ποτίζοντα ὄμβροις, τῶν ποτίμων σου λόγων κατέκλυσας.

Ἰλιγγιῶ καὶ δειλιῶ τὴν ἐγχείρησιν, καὶ προβῆναι προσωτέρω πέφρικα, ὁρῶν τὸ μέγα καὶ ἀχανές, σοῦ τῶν ἐγκωμίων περικυκλῶσαί με πέλαγος· ἀλλ' ὅμως σὲ καλέσας κυβερνήτην τοῦ λόγου, καὶ εἰσέτι τοῦ πλεῖν οὐκ ἀφέξομαι.

Χρυσολαμπὴς περιστερὰ ἐχρημάτισας, Ἱεράρχα θεῖε Ἀθανάσιε, ἧς τὰ μετάφρενα ἀρετῶν τῷ χλωρῷ χρυσίῳ κεχρύσωνται, αἱ δὲ πτέρυγες περιηργυρωμέναι, καθαρότητι βίου, καὶ χιόνος λευκότεραι ὤφθησαν.

Νεοφανὲς καὶ καθαρὸν καὶ νεόσμηκτον, χρυσαυγίζων ἀποστίλβον ἔσοπτρον τῇ διαυγείᾳ τῶν ἀρετῶν, δείξας τὴν ψυχήν σου τὴν αἴγλην ὅλην, ἐχώρησας τοῦ πνεύματος τοῦ θείου, Ἀθανάσιε πάτερ, καὶ ὡς φῶς ἐν τῷ κόσμῳ ἐξέλαμψας.

*Δόξα Πατρί.*

Ῥήξας δεσμοὺς καὶ σχοινισμοὺς ἀπογνώσεως, ὡς μαχαίρᾳ τῇ πανσόφῳ γλώσσῃ σου, σχοινίον ἔντριτον ἀρραγὲς ἔπλεξας, ἀγάπην, ἐλπίδα, πίστιν συνδέον Χριστῷ, πάντας μετα-



νοοῦντας, οἷς καὶ κληρονομίας ὁ παράδεισος, δίδοται σχοίνισμα.

*Καὶ νῦν· Θεοτοκίον.*

Καὶ ποῦ λοιπὸν ἄλλην εὑρήσω ἀντίληψιν, ποῦ προσφύγω, ποῦ δὲ καὶ σωθήσωμαι, τίνα θερμὴν ἕξω βοηθόν, θλίψεσι τοῦ βίου, καὶ ζάλαις οἴμοι κλονούμενος· εἰς σὲ μόνην ἐλπίζω καὶ θαρρῶ καὶ καυχῶμαι, καὶ προστρέχω τῇ σκέπῃ σου σῶσόν με.

*Καταβασία· Ἐπὶ τῆς θείας φυλακῆς.*

Ὠδὴ ε'. ὁ Εἱρμός.

Ὀρθρίσωμεν ὄρθρου βαθέος, καὶ ἀντὶ μύρου τὸν ὕμνον »προσοίσωμεν τῷ Δεσπότῃ, καὶ Χριστὸν ὀψόμεθα δικαιοσύ»νης ἥλιον, πᾶσι ζωὴν ἀνατέλλοντα». (Δίς)

Τὴν ἄμετρόν σου εὐσπλαγχνίαν, οἱ ταῖς τοῦ Ἅδου σειραῖς συνεχόμενοι δεδορκότες, πρὸς τὸ φῶς ἠπείγοντο Χριστὲ ἀγαλλομένῳ ποδί, Πάσχα κροτοῦντες αἰώνιον.

Προσέλθωμεν λαμπαδηφόροι, τῷ προϊόντι Χριστῷ ἐκ τοῦ μνήματος ὡς νυμφίῳ, καὶ συνεορτάσωμεν ταῖς φιλεόρτοις τάξεσι, Πάσχα Θεοῦ τὸ σωτήριον.

Τοῦ Ἁγίου Ἀθανασίου· ὁ αὐτός.

Ὀρθρίσωμεν σήμερον πάντες, καὶ ἀντὶ μύρου τοὺς ὕμνους σοὶ πλέκωμεν Ἱεράρχα, καὶ περιπτυσσώμεθα, τὴν σὴν λάρνακα ἔνδοξον, χάριν ἀντλοῦντες ἀδάπανον. (Δίς)

Προσέλθωμεν λαμπαδηφόροι Ἀθανασίῳ τῇ σορῷ πληθὺς τῶν εὐσεβούντων, καὶ συνεορτάσωμεν, ταῖς τῶν Ἀγγέλων τάξεσι, τοῦτον τιμῶντες ἐν ᾄσμασι.

Τὴν ἄμετρόν σου εὐσπλαγχνίαν, οἱ τῶν πταισμάτων σειραῖς, συνεχόμενοι δεδορκότες, πρὸς τὸ φῶς ἐχώρουν ἀρετῆς, ἀγαλλομένῳ ποδί, σὲ εὐφημοῦντες Ἀθανάσιε.

Ἄλλος. Ἵνα τί με ἀπώσω.

Ὑπ' ἀγγέλων ἀΰλων, τὸν ἀγγελικὸν καὶ ἄϋλον βίον σου, ἀγγελοπρεπέσι, καὶ ἀΰλοις ᾠδαῖς ἔδει στέφεσθαι, ὡς ἠλαττωμένου, πρῴην βραχύ τι παρ' ἀγγέλους, ἰσαγγέλου δὲ νῦν χρηματίζοντος.

Ὁ λαμπρὸς ἑωσφόρος, ὁ χρυσοφανὴς καὶ χρυσαυγίζων ἥλιος, ὁ παντὸς χρυσίου, λαμπροτέραν καρδίαν κτησάμενος, καὶ καθαρωτέραν τῶν τοῦ ἡλίου λαμπηδόνων, τὴν ζοφώδη καρδίαν μου φώτισον.

Σοῦ τῷ στόματι θεία χάρις Ἀθανάσιε προσεφιστάνουσα, καὶ τοῖς χείλεσί σου, γλυκυτάτη πειθὼ καὶ σειρήνιος, ὑποκαθημένη, πρὸς ἑαυτὴν ἅπαντας εἷλκεν, οἷα λίθος μαγνῆτις τὸν σίδηρον.

Μυστικῆς πανδαισίας, καὶ πνευματικῆς εὐωχίας, τραπέζης φρικτῆς, ζωηροῦ τε δείπνου, σὲ κοσμήτορα ἔγνωμεν Ἅγιε τροφῆς οὐρανίου, ζωοποιοῦ διανομέα, καὶ τῆς θείας σαρκὸς ἑστιάτορα.

*Δόξα Πατρί.*

Ὀμβροτόκον νεφέλην, ὁ ζωαρχικώτατος ὄμβρος σὲ ἔδειξε, μετανοίας ὄμβρους, ἐπομβρίζουσα πᾶσι πολύαθλε, ὑετίζουσάν τε, τοῖς ἐκτακεῖσιν ἀπογνώσει σωτηρίου ἐλπίδος, σταγόνας χρυσᾶς.

*Καὶ νῦν· Θεοτοκίον.*

Ὡς ἀπώλλοντο πάντες, οἱ μὴ Θεοτόκον σε φρονοῦντες Δέσποινα, ἀλλ' ἐθελουσίως, ἀθετοῦντες τὴν θείαν σου γέννησιν, καὶ ὑπὸ τὴν χεῖρα τὴν κραταιὰν τὴν τοῦ Υἱοῦ σου ἑαυτούς, ταπεινῶσαι μὴ θέλοντες.

Καταβασία· Ὀρθρίσωμεν ὄρθρου βαθέος.

Ὠδὴ ς'. ὁ Εἱρμός.

«Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς, καὶ συνέτριψας



» μοχλοὺς αἰωνίους, κατόχους πεπεδημένων Χριστέ, » καὶ τριήμερος, ὡς ἐκ κήτους Ἰωνᾶς, ἐξανέστης τοῦ » τάφου». (Δίς)

Φυλάξας τὰ σήμαντρα σῶα Χριστέ, ἐξηγέρθης τοῦ τάφου, ὁ τὰς κλεῖς τῆς παρθένου μὴ λυμηνάμενος ἐν τῷ τόκῳ σου, καὶ ἀνέῳξας ἡμῖν, Παραδείσου τὰς πύλας.

Σῶτέρ μου τὸ ζῶν τε καὶ ἄθυτον ἱερεῖον ὡς Θεός, σεαυτὸν ἑκουσίως προσαγαγὼν τῷ Πατρί, συνανέστησας, παγγενῆ τὸν Ἀδάμ, ἀναστὰς ἐκ τοῦ τάφου.

Τοῦ Ἁγίου Ἀθανασίου· ὁ αὐτός.

Κατῆλθες ἀπὸ τῶν ἑῴων σοφέ, εἰς τὰ μέρη τῶν δυσμῶν, καὶ ἐφώτισας ταῦτα, διδασκαλίαις ταῖς σαῖς, καὶ μετέστης νῦν, οὐρανίους εἰς σκηνάς, Ἀθανάσιε χαίρων. (Δίς)

Φυλάξας τὴν πίστιν σου σῶαν σοφέ, ἠξιώθης μυστηρίων ἀρρήτων, καὶ ποίμνης προέστης λογικῆς, καὶ ὡδήγησας πρὸς ἀκήρατον ζωήν, Ἀθανάσιε ταύτην.

Σῶτέρ μου Θεὲ ὑπεράγαθε, καὶ τῶν ὅλων ποιητά, ταῖς τοῦ σοῦ ποιμένος Ἀθανασίου λιταῖς περιφρούρησον, σοὺς ὑμνητὰς ἀβλαβεῖς, ἐκ παντοίων κινδύνων.

Ἄλλος. Τὴν δέησιν ἐκχεῶ.

Ὑπέρτερος τῆς τῶν λόγων ἰσχύος, ὁ περίδοξός σου βίος καὶ λόγος, μόνῳ γάρ σοι, καὶ ὁ βίος τῷ λόγῳ, πρὸς δὲ ὁ λόγος τῷ βίῳ κατάλληλος, ἐργῶδες δὲ προσενεγκεῖν' ὕμνους βίῳ τοιούτῳ προσήκοντας.

Νυγεῖσά σου ἡ ψυχὴ θείῳ βέλει, τῆς γλυκείας τοῦ σωτῆρος ἀγάπης, καὶ τὸ αὐτοῦ πολυπόθητον κάλλος, φανταζομένη δι' ὅλου κατέδραμεν, ὀπίσω αὐτοῦ διακαῶς ὥσπερ ἔλαφος δίψει κατάσχετος.

Ὁ μέγας τε καὶ εὐρύχωρος κόλπος, καὶ βαθύτατος βυθὸς τῆς σοφίας, ὁ λογικὸς οἶκος τῶν μυστηρίων, ὁ τῆς συνέσεως ἔμψυχος θάλαμος, τῆς γνώσεως ὁ θησαυρός, ὁ λαμπρὸς ἀνυμνείσθω Ἀθανάσιος.

Κατάστερον οὐρανοῦ στερέωμα, ἀνεδείχθης Ἱερὲ μυστολόγε, ἔχων Χριστὸν ὥς περ ἥλιον μέγαν, πέρι τὰ στέρνα φαιδρῶς ἀνατέλλοντα, κύκλωθεν δὲ τὰς ἀρετάς, ὡς ἀστέρας ἀδύτους αὐγάζοντας.

*Δόξα Πατρί.*

Ῥημάτων σου δροσοβόλων ῥανίσι, ἀναψύχονται ψυχαὶ πενομένων, τῇ σιδηρᾷ τῆς κακίας καμίνῳ, κατακαιόμεναι, φέρειν δὲ πείθονται, εὐψύχως τὴν πυρκαϊάν, ὡς πηγὴν τῆς ἐκεῖ ἀναψύξεως·

*Καὶ νῦν· Θεοτοκίον.*

Ὁ ἔμψυχος τοῦ Χριστοῦ παράδεισος, ἡ Ἐδὲμ ἡ τοῦ Ἀδὰμ τοῦ δευτέρου, ὁ φλογερὸς καὶ πυρίμορφος θρόνος, ὁ ὑψηλὸς οὐρανὸς καὶ περίδοξος, ἡ στάμνος τοῦ μάννα τῆς ζωῆς, οὐρανίου ζωῆς με ἀξίωσον.

Καταβασία· Κατῆλθες ἐν τοῖς κατωτάτοις.

Ἡ Αἴτησις. Τὸ Κοντάκιον τοῦ Ἁγίου.

Ἦχος Β΄.

Ὀρθοδοξίας φυτεύσας τὰ δόγματα, κακοδοξίας ἀκάνθας ἐξέτεμες, πληθύνας τὸν σπόρον τῆς πίστεως τῇ ἐπομβρίᾳ τοῦ Πνεύματος Ὅσιε· διό σε ὑμνοῦμεν Ἀθανάσιε.

Ὁ Οἶκος.

Ἀθανασίου τὴν πανέορτον μνήμην, ἐν ᾠδαῖς οἱ πιστοὶ ἀνευφημήσωμεν σήμερον· οὗτος γὰρ Ἄρειον τὸν πλάνον καὶ Εὐνόμιον ἅμα σὺν Σαβελλίῳ, τοῖς τῆς ἀληθείας κατέβαλε δόγμασι, πυρὶ τῷ αἰωνίῳ παραδιδοὺς αὐτοὺς κατακαιεσθαι,



ὡς βλασφημήσαντας ἄδικα κατὰ τῆς τοῦ Σωτῆρος σαρκώσεως, ἣν πάντες προφῆται προκατήγγειλαν· διὸ σὲ ὑμνοῦμεν Ἀθανάσιε.

**Τῷ αὐτῷ μηνὶ Β΄. Ἡ ἀνακομιδὴ τοῦ λειψάνου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀθανασίου Ἀρχιεπισκόπου Ἀλεξανδρείας τοῦ μεγάλου.**

Στίχοι. Ἀθανάσιε ποῦ κομίζει μοι πάλιν
Καὶ νεκρὸν ἐξόριστον ἐκπέμπουσί σε ;
Δευτερίῃ νέκυς Ἀθανασίου εἰσεκομίσθη.

Ἕτεροι στίχοι ἐγκωμιαστικοὶ εἰς τὸν μέγαν Ἀθανάσιον.

Ἄρειε σίγα τὴν σιγὴν κατεκρίθης·
Ἀθανασίου τοῦ σοφοῦ κεκραγότος
Φλήναφε παμβέβηλε κακίας πίθε.
Γέρον σοφιστὰ τῶν σατὰν σοφισμάτων
Κρύφθητι λοιπὸν αἰσχύνης πολλῆς γέμων.
Φαίνουσι καὶ γὰρ Ἀθανασίου λόγοι.
Λόγοι ὡς ἐκ στόματος σεπτῆς Τριάδος
Καὶ πανταχοῦ φθάνουσιν ἀστραπηβόλως
Τοὺς σοὺς φίλους φλέγοντες ἢ σὴν καρδίαν
Ἐξ ἧς τὰ σαθρὰ τῶν διδαγμάτων, πλάνε,
Ἀρχὴν λαβὼν τὴν φθορὰν παρεισάγειν,
Ἐσφενδονίσθης πνεύματος τῇ σφενδόνῃ.
Ὄντως ἐπλήγης τοῖς ἰοῖς τοῖς ἐνθέοις.
Ὄντως ἐβλήθης ταῖς βολαῖς ταῖς καιρίοις.
Ἅς περ κατηκόντισεν ἐνθεωτάτως.
Ἡ γλῶσσα ἡ πύρινος Ἀθανασίου
Αἴσχιστε καὶ δύστηνε, τῆς βδελυρίας.
Ὄντως δέδωκας ἀξίαν τιμωρίαν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡ

Τῶν σῶν λυθέντων ἐγκάτων ἀλλ' ἐνδίκως.
Μέσον κοπρωδῶν ἐκλιπὼν ψυχὴν τόπων.
Ἀλλ' ὦ θεράπον θεῖε τοῦ Θεοῦ θύτα
Ἀθανάσιε τῶν σοφῶν πηγὴ λόγων.
Ὁ τρίτος καὶ δέκατος μύστης τοῦ λόγου.
Ὁ νοῦς ὁ πυρίμορφος τὸ θεῖον στόμα.
Ἠλίας ὁ δεύτερος τῆς Ἀρείου.
Τάγμα δέκατον τῶν θείων ἀσωμάτων.
Εἰ θέμις τοῦτο φάναι ὦ θαῦμα ξένον.
Οὗπερ οἱ λόγοι ὡς ἀληθῶς τελοῦσι.
Ῥοδωνιὰς πάντερπνοι τῶν θεολόγων.
Φέριστα φωτόμορφα χρυσανθῆ κρίνα.
Ταμεῖα κειμήλια τῶν οὐρανίων.
Ἐσθλῶν ἀφάτων συνῳδὰ τῶν ἀγγέλων.
Βλύζουσι γλεῦκος θείας ὄντως ἀγάπης.
Γλυκασμὸς ἀκόρεστος γὰρ ὅλως-
Χαρὰ δ' ἀνεκλάλητος ἐμφορουμένων·
Φαιδροὶ τῶν βροτῶν θάλαμοι τῶν ποθησάντων.
Μυρίπνοοι πύρινοι θυσίας στῦλοι.
Μέγα ἱλαστήριον τοῖς ὑφ' ἡλίῳ.
Ὄλβος κορωνὶς ἀστραπόμορφον ἅρμα.
Ξίφη κατ' ἐχθρῶν ἀντιλήπτορες σκέπη
Ποταμοὶ χρυσόρρειθροι θεολογίας.
Λίθοι φεραυγεῖς εὐκλεεῖς μαργαρῖται.
Ἀσωμάτων δόξα τε καὶ ὡραιότης.
Τῶν ἀγγέλων ἡ χαρὰ καὶ ἀρχαγγέλων.
Μάννα νοητὸν Ἰσραὴλ τροφὴ νέου.
Νέκταρ γέρας καύχημα θῶκοι Κυρίου.
Πυλῶν ἀνοικτήριον Σιὼν τῆς ἄνω.



Αἴροντες τὸν νοῦν δόξαν ἠμφιεσμένον.
Πρὸς τὸν τρίφωτον καὶ μόνον Βασιλέα.
Ὦ πρέπει δόξα εἰς πάντας τοὺς αἰῶνας. Ἀμήν.

*Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν Ἁγίων μαρτύρων Ἑσπέρου καὶ Ζωῆς τῆς συμβίας αὐτοῦ, καὶ τῶν τέκνων αὐτῶν Κυριακοῦ καὶ Θεοδούλου.*

*Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.*

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ

Ὠδὴ Ζ'. ὁ Εἱρμός.

Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος, γενόμενος ἄνθρωπος, πάσχει ὡς θνητός, καὶ διὰ πάθους τὸ θνητόν, ἀφθαρσίας ἐνδύει εὐπρέπειαν, ὁ μόνος εὐλογητὸς τῶν πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Γυναῖκες μετὰ μύρων θεόφρονες, ὀπίσω σου ἔδραμον· ὃν δὲ ὡς θνητὸν μετὰ δακρύων ἐζήτουν, προσεκύνησαν χαίρουσαι, ζῶντα Θεόν, καὶ Πάσχα τὸ μυστικὸν σοῖς Χριστέ, Μαθηταῖς εὐηγγελίσαντο.

Θανάτου ἑορτάζομεν νέκρωσιν, Ἅδου τὴν καθαίρεσιν, ἄλλης βιοτῆς, τῆς αἰωνίου, ἀπαρχήν· καὶ σκιρτῶντες ὑμνοῦμεν τὸν αἴτιον, τὸν μόνον εὐλογητὸν τῶν πατέρων, Θεὸν καὶ ὑπερένδοξον.

Ὡς ὄντως ἱερὰ καὶ πανέορτος, αὕτη ἡ σωτήριος νύξ, καὶ φωταυγὴς τῆς λαμπροφόρου ἡμέρας τῆς ἐγέρσεως, οὖσα προάγγελος, ἐν ᾗ τὸ ἄχρονον φῶς ἐκ τάφου σωματικῶς, πᾶσιν ἐπέλαμψεν.

Τοῦ Ἁγίου Ἀθανασίου.

Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος, σοφὲ Ἀθανάσιε, ῥύεται καὶ σὲ τῆς κοσμικῆς προσπαθείας, καὶ ὑψώσας σε καθίστησι

ποιμένα πιστόν, ὁ μόνος εὐλογητὸς τῶν πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Γυναῖκες μετὰ μύρων θεόφρονες, τῇ θείᾳ ἀθροίσθητε, σήμερον σορῷ Ἀθανασίου τοῦ σοφοῦ, Χριστὸν ἐν αἰνέσει δοξάσατε, τὸν μόνον εὐλογητὸν τῶν πατέρων, Θεὸν καὶ ὑπερένδοξον.

Ὡς ὄντως ἱερὰ καὶ πανέορτος, αὕτη ἡ ὑπέρλαμπρος μνήμη σου σοφέ, καταφωτίζουσα κόσμου Ἀθανάσιε πάντα τὰ πέρατα· Χριστὸν γὰρ τὸν αἰνετὸν τῶν πατέρων, Θεὸν ἀνακηρύττει πιστῶς.

Θανάτου καθαιρέτης ὁ τόκος, Δέσποινα πανάμωμε γέγονε, καὶ γὰρ ἐκ νεκρῶν ἐξαναστάς, συνεξήγειρε τάγματα, ὁ μόνος εὐλογητὸς τῶν πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Ἄλλος. Θεοῦ συγκατάβασιν.

Πατέρων τὸ καύχημα καὶ διδασκάλων τὸ σεμνολόγημα, φωστὴρ τῆς Ἐκκλησίας, τῆς εὐσεβείας στῦλος ἀκράδαντος, σὺ καθωράθης κραυγάζων πανεύφημε· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν.

Ἀστράψας ὡς ἥλιος, τὴν Οἰκουμένην ἐφωταγώγησας, διὰ τοῦτο Θεόφρον συναθροισθέντες σὲ μακαρίζομεν, οἱ τῶν σῶν λόγων τρυφῶντες Ἀθανάσιε· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν.

Ὑψώθης γηθόμενος, ἐκλελεγμένος ὅσιος ἄκακος, ἱερεὺς τοῦ Ὑψίστου, δικαιοσύνην ἐνδεδυμένος λαμπρῶς, καὶ εὐφροσύνῃ κραυγάζων πανόλβιε· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν.

Φλογίνῳ ἐν ἅρματι, σεπτῆς ἀγάπης καὶ τελειότητος, ἐπιβὰς πρὸς τὸ ὕψος, ἀνεκομίσθης ἐν ᾧ ἐκέκτησο, τὸ σὸν κραυγάζων πανόλβιε· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν.



*Δόξα Πατρί.*

Ὁ λόγος σου ἅλατι, διηρτυμένος ὤφθη ἰσάγγελε, καὶ ὁ βίος σου πάτερ, λελαμπρυσμένος αἴγλῃ τοῦ πνεύματος, ᾧ νῦν ἀστράπτων βοᾷς ἀγαλλόμενος· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν.

*Καὶ νῦν· Θεοτοκίον.* Πχύλου τοῦ Ἀμορίου.

Οὐκ ἔσχον κατάνυξιν, οὐδὲ ταπείνωσιν ἐν καρδίᾳ μου, οὔτε μὴν ἀγρυπνίαν, οὐ προσευχήν τε ἀλλ' οὐδ' ἐγκράτειαν, οὔ τινος ἄλλου ἀγαθοῦ ἐνέργειαν· διὸ βοῶ δωρεάν· Δέσποινα σῶσόν με.

Καταβασία· Ὁ παῖδας ἐκ καμίνου.

Ὠδὴ η'. ὁ Εἱρμός.

«Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα, ἡ μία τῶν Σαββάτων, » ἡ βασιλὶς καὶ κυρία, ἑορτῶν ἑορτή, καὶ πανήγυρίς ἐστι » πανηγύρεων· ἐν ᾗ εὐλογοῦμεν, Χριστὸν εἰς τοὺς αἰῶνας.»

Δεῦτε τοῦ καινοῦ τῆς ἀμπέλου γεννήματος, τῆς θείας εὐφροσύνης, ἐν τῇ εὐσήμῳ ἡμέρᾳ τῆς ἐγέρσεως, βασιλείας τε Χριστοῦ κοινωνήσωμεν ὑμνοῦντες αὐτόν, ὡς Θεὸν εἰς τοὺς αἰῶνας.

Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου Σιών, καὶ ἴδε· ἰδοὺ γὰρ ἥκασί σοι, θεοφεγγεῖς ὡς φωστῆρες, ἐκ δυσμῶν καὶ βορρᾶ, καὶ θαλάσσης καὶ ἑῴας τὰ τέκνα σου, ἐν σοὶ εὐλογοῦντα, Χριστὸν εἰς τοὺς αἰῶνας.

Πάτερ παντοκράτορ, καὶ Λόγε, καὶ Πνεῦμα, τρισὶν ἑνιζομένη ἐν ὑποστάσεσι φύσις, ὑπερούσιε καὶ ὑπέρθεε, εἰς σὲ βεβαπτίσμεθα, καὶ σὲ εὐλογοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ

Τοῦ Ἁγίου Ἀθανασίου,

Αὕτη ἡ κλητὴ καὶ αγία ἡμέρα, εὐφραίνουσα τὴν μνήμην Ἀθανασίου τοῦ Θείου, εἰς τὰ πέρατα τῆς γῆς, Χριστὸν τοῦ κηρύξαντος ἅπασιν, ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Δεῦτε τῶν πιστῶν ἡ πληθύς, ἐμπλησθῶμεν τῆς θείας εὐωδίας, τῶν σεβασμίων λειψάνων, Ἀθανασίου τοῦ σοφοῦ, καὶ Χριστὸν εἰλικρινῶς προσκυνήσωμεν, ὑμνοῦντες αὐτόν, ὡς Θεὸν εἰς τοὺς αἰῶνας.

Πάτερ παντοκράτορ, καὶ Λόγε καὶ Πνεῦμα, ἡ ἄναρχος, οὐσία, ἡ ἀκατάληπτος φύσις, ὁ Θεὸς τοῦ παντὸς τὸν σὸν κόσμον ἐξελοῦ πάσης θλίψεως, ταῖς πρὸς σὲ λιταῖς, τοῦ σοφοῦ Ἱεράρχου.

Ἄλλος. Ἑπταπλασίως κάμινον.

Ἄλλον σε Νεῖλον ἔγνωμεν, χρυσορρόαν ἰσάγγελε, νέον χρυσοδίνην Πακτωλὸν χρυσόρρειθρον, οὐ μόνον τὴν Αἴγυπτον, πᾶσάν τε γῆν ἀρδεύοντα, λόγων γλυκυτάτων πελαγίζοντα ῥείθρῳ ἡσύχως φερομένῳ γαληνῶς πλημμυροῦντα, ἠρέμα χεομένῳ, ὡς ἔλαιον ἢ μέλι.

Ῥάβδῳ τεμὼν τὴν θάλασσαν, Μωϋσῆς διεβίβασε φεύγοντα λαὸν Ἰσραηλίτην Ὅσιε, ἀλλ' αὖθις τα τμήματα πρὸς ἑαυτὰ συνῆλθε ταχύ, ἄβατον τιθέντα τὴν πρὶν ἄβατον φύσιν· ἡ σὴ δὲ θεία γλῶσσα τῆς γραφῆς διασχοῦσα τὸ πέλαγος εἰσέτι, πᾶσι βάτον δεικνύει.

Ὁ οὐρανὸς ὁ πάμφωτος, ὁ πολύφωτος ἥλιος, ὁ μετὰ τὸν Παῦλον, ἄλλος Παῦλος δεύτερος, τὸ στόμα τῆς χάριτος, ὁ θησαυρὸς τοῦ πνεύματος, ὁ νυμφαγωγὸς τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, ὁ πρόδρομος ὁ νέος, Θεολογίας ὁ κῆρυξ Ἀθανάσιος ὁ μέγας, ὑμνείσθω χαρμοσύνως.



Κατάπεπυκνωμένον σε πάντες ἴσμεν παράδεισον, κλάδους ἀρετῶν, καὶ τῶν χαρίτων ὄρπηξι, δι' ὅλου κατάκομον κυκλοτερῶς στεφόμενον, ταῖς ἀναδενδράσι, τῶν αὔλων βοτρύων, ἐν μέσῳ στοιχηδόν τε κεκτημένον ἑστῶτα, στελέχη τεθηλότα Ἀθανάσιε μάκαρ.

Εὐλογοῦμεν Πατέρα Υἱὸν καὶ Ἅγιον Πνεῦμα.

Στῦλος πυρὸς ἐλόφωτος, ἀπὸ γῆς μὲν αἰρόμενος, καὶ πρὸς οὐρανὸν σαφῶς ἀναφερόμενος, λαοῦ δὲ ἡγούμενος τοῦ ἐξ ἐθνῶν πιστοῦ Ἰσραήλ, καὶ καθοδηγῶν πρὸς οὐρανῶν βασιλείαν, ὡς γῆν Ἐπαγγελίας, τὸ χριστώνυμον ἔθνος πορείαις χρυσαυγέσιν ὠράθης Ἱεράρχα.

*Καὶ νῦν· Θεοτοκίον.*

Ξένα πολλάκις γέγονε, καὶ παράδοξα τέρατα, ἀλλ' ἐκ τοῦ αἰῶνος οὐκ ἠκούσθη Δέσποινα, οἷον ἐπράχθη νῦν ἐπὶ σοί· μόνη γὰρ ἐν πάσαις, γενεαῖς ἐγνωρίσθης, θηλάζουσα παρθένος, παρθενεύουσα μήτηρ, ἀσπόρως συλλαβοῦσα, ἀφθόρως τε τεκοῦσα.

Καταβασία· Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα

Εἶτα

Τὴν Θεοτόκον καὶ Μητέρα τοῦ Φωτός.

Ὠδὴ θ'.

Τὰ Μεγαλυνάρια τοῦ Πάσχα· καὶ ὁ Κανών.

Ὁ Εἱρμός.

Φωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλήμ· ἡ γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε. Χόρευε νῦν καὶ ἀγάλλου Σιών· σὺ δὲ ἁγνὴ τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

Ὦ θείας! ὢ φίλης! ὢ γλυκυτάτης σου φωνῆς! μεθ᾽ἡμῶν ἀψευδῶς γὰρ ἐπηγγείλω ἔσεσθαι, μέχρι τερμάτων αἰῶνος, Χριστέ· ἣν οἱ πιστοὶ ἄγκυραν ἐλπίδος, κατέχοντες ἀγαλλόμεθα.

Ὦ Πάσχα τὸ μέγα καὶ ἱερώτατον Χριστέ, ὢ σοφία καὶ Λόγε τοῦ Θεοῦ καὶ δύναμις, δίδου ἡμῖν ἐκτυπώτερον, σοῦ μετασχεῖν, ἐν τῇ ἀνεσπέρῳ ἡμέρᾳ τῆς βασιλείας σου.

Τοῦ Ἁγίου Ἀθανασίου.

Μεγάλυνον ψυχή μου, τὸν ἐθελουσίως, πολλούς τε καὶ ποικίλους, ὑπὲρ τῆς Τριάδος, πειρασμοὺς ὑποστάντα.

Φωτίζου, φωτίζου, τῶν εὐσεβούντων ἡ πληθύς, κατ᾽ ἐξαίρετον σκίρτα, ἡ Χριστοῦ Ἐκκλησία, χόρευε νῦν καὶ ἀγάλλου φαιδρῶς· εὗρες καὶ γὰρ κράτιστον τὸν μέγαν, φρουρὸν Ἀθανάσιον.

Σήμερον πᾶσα κτίσις, ἀγάλλεται καὶ χαίρει, ἐν τῇ λαμπρᾷ καὶ θείᾳ, σοῦ μάκαρ πανηγύρει.

Ὦ θείας! ὢ φίλης! ὢ ἀκενώτου προχοῆς, σῶν ἀπείρων θαυμάτων, εἰς ἡμᾶς τοὺς δούλους σου, καταπλουτίζεις ἑκάστοτε, δόξα πιστῶν, ἱερέων κλέος, καὶ Ἐκκλησίας ἑδραίωμα.

Μεγάλυνον ψυχή μου, τὸν ἐν Ἱεράρχαις, ὑπέρλαμπρον φωστῆρα, τὸν κεκοσμηκότα, Χριστοῦ τὴν Ἐκκλησίαν.

Ὦ Πάσχα τὸ μέγα, καὶ ἱερώτατον Χριστέ, ὢ σοφία καὶ Λόγε, ὅν περ ἀνεκήρυξεν, ὁ θεῖος Ἀθανάσιος, δίδου ἡμῖν ταῖς αὐτοῦ πρεσβείαις, ἁμαρτιῶν τὴν συγχώρησιν.



Ἄλλος. Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.

Μεγάλυνον ψυχή μου, τὸν τῆς Ἐκκλησίας, ὑπέρλαμπρον φωστῆρα.

Ἰδεῖν κατηξιώθης ἅπερ ἰδεῖν, διὰ βίου παντὸς ἐπεθύμησας ὅλῳ νοΐ, πάντοτε τοῦ σώματος ἐκδημῶν, καὶ ἐνδημῶν τῷ πνεύματι, πρὸς τὰ σοὶ ποθούμενα ἀγαθά, ὧν νῦν ἐπαπολαύων, μνημόνευε τῶν πίστει, σοῦ μεμνημένων ἰσαπόστολε.

Μεγάλυνον ψυχή μου, τὸν πειρασμοὺς ποικίλους, κατὰ τὸν θεῖον Παῦλον, στερρῶς ὑπενεγκόντα.

Ὤφθης ὡς ῥυθμίσας ταῖς ἀρεταῖς τῆς ψυχῆς τὰς δυνάμεις ἀοίδιμε, καὶ ἀσφαλῶς ὡς παιδαγωγήσας φόβῳ Θεοῦ, αἰσθήσεις τὰς τοῦ σώματος, πάγχρυσον ψαλτήριον μουσικόν, δεκάχορδον ὡραῖον, τῇ θείᾳ ἐπινοίᾳ, τοῦ παρηλάτου ἐνηχούμενον.

Μεγάλυνον ψυχή μου, τὸν τῆς θεολογίας, ὑπέρλαμπρον φωστῆρα.

Αὔλων σωτηρίαν ἀπὸ πηγῶν, νοημάτων ἀντλήσας τὸ πέλαγος, ὡς ποταμοὺς ὕδατα κατήγαγες διδαχῶν, ὡς ἐν πολλῇ ἀβύσσῳ δέ, τοὺς πιστοὺς ἐπότισας ἐν αὐτοῖς, τῆς πίστεως τὸν σπόρον ἀρδεύων καὶ συμπνίγων, τὰ τῶν αἱρέσεων ζιζάνια.

Μεγάλυνον ψυχή μου, τὸν ἐν Ἱεράρχαις πολύαθλον ποιμένα.

Νομὰς εἰς ψυχοτρόφους καὶ ζωηράς, εἰς δροσώδεις λειμῶνας χλοάζοντας, εἰς καθαρὰς πόας, εἰς πεδία ἀνθοποιά, τὸ σὸν ποιμάνας ποίμνιον, πάνσοφε Ἀθανάσιε καὶ ἡμᾶς κατάταξον εὐχαῖς σου, ἐν τόπῳ τῷ τῆς χλόης ἐπὶ ὑδάτων ἀναπαύσεως.

ΣΙΝΑΝΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ

*Δόξα Πατρί.*

Μεγάλυνον ψυχή μου, τὸν τῆς ἀθανασίας, ἐπώνυμον λαμπτῆρα.

Οὐ σθένει στόμα πήλινον εὐφημεῖν, τὸν πολύαθλον σὲ Ἀθανάσιον, ὡς ἀτεχνῶς στόμα καὶ καρδίαν καὶ νοῦν Χριστοῦ, πεπλουτηκότα χάριτι, θεῖε ἰσαπόστολε φαεινέ, ἀλλ᾽ οὖν εἰδὼς τὸν πόθον, τήνδε χριστομιμήτως, τὴν προσφορὰν τοῦ λόγου δέξαι μου.

*Καὶ νῦν· Θεοτοκίον.*

Μεγάλυνον ψυχή μου, τὴν τιμιωτέραν καὶ ἐνδοξοτέραν, τῶν ἄνω στρατευμάτων.

Ὑμνῶ σε τὴν πανύμνητον ἀληθῶς, μεγαλύνω σε τὴν πολυύμνητον, ἣν ἀνυμνεῖ, ὕμνοις ἀσιγήτοις πᾶσα πνοὴ τεκοῦσαν ὑπερύμνητον, Λόγον ὃν ὑμνοῦσιν ἐν οὐρανοῖς χίλιαι χιλιάδες, μύριαι μυριάδες, ἐν φλογεροῖς ἀΰλοις στόμασιν.

Καταβασία· Ὁ ἄγγελος ἐβόα, τῇ Κεχαριτωμένῃ.
Φωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλήμ.
Αἴτησις μικρὰ παρὰ τοῦ Ἱερέως.
Καὶ τὸ Ἐξαποστειλάριον τοῦ Πάσχα.

Σαρκὶ ὑπνώσας ὡς θνητός, ὁ Βασιλεὺς καὶ Κύριος, τριήμερος ἐξανέστης, Ἀδὰμ ἐγείρας ἐκ φθορᾶς, καὶ καταργήσας θάνατον· Πάσχα τῆς ἀφθαρσίας, τοῦ κόσμου σωτήριον.



Ἕτερον τοῦ Ἁγίου Ἀθανασίου
Φῶς ἀναλλοίωτον, Λόγε.

Νεῖλος χρυσόρρειθρος ὤφθης, δογμάτων ὕδασιν ἄρδων, τοὺς λατρευτὰς τῆς Τριάδος, Ἱεραρχῶν ὡραιότης· σὺ γὰρ Ἀρείου τὸ δόγμα, κατέλυσας διδαχαῖς σου.

Ἕτερον
Ὁ οὐρανὸς τοῖς ἄστροις.

Ἀρχιερέων τὸ κλέος, καὶ τῆς Αἰγύπτου τὸ θρέμμα, ἀθανασίας τὸ κῦδος, ὑμνήσωμεν ἐν αἰνέσει, ὡς καθαιρέτην Ἀρείου, καὶ τῶν πιστῶν ὡς προστάτην.

*Θεοτοκίον ὅμοιον.*

Τὸν σὸν Υἱὸν μὴ ἐλλίπῃς καταφυγὴ χριστιανῶν, σὺν τῷ κλεινῷ Ἱεράρχῃ Ἀθανασίῳ, δυσωπεῖν τῶν ἀναξίων σου δούλων, τυχεῖν χαρᾶς αἰωνίου.

Εἰς τοὺς Αἴνους· ἱστῶμεν στίχους Δ΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια, τοῦ Ἁγίου Ἀθανασίου· ἦχος Δ΄.

Ὁ ἐξ ὑψίστου κληθείς.

Ὁ ἀθανάτου ζωῆς ἠξιωμένος, ὅτε ὁμοούσιον καὶ συναΐδιον, πατρὶ ἀνάρχῳ γεννήτορι, Υἱὸν καὶ Λόγον τὸν ζωοδότην Χριστὸν ἐκήρυξας, τότε τῇ πυρίνῃ σου γλώττῃ κατέφλεξας, ὕλην αἱρέσεων ἔνδοξε, ἀποκηρύξας τῆς Ἐκκλησίας Χριστοῦ τὸν Ἄρειον, καὶ θείοις λόγοις κατεφώτισας, τῶν εὐσεβῶν τὰς καρδίας σοφέ, προσκυνεῖν τὴν Τριάδα ἐν μονάδι οὐσιότητος.

Ὡς ποταμὸς τοῦ Θεοῦ πεπληρωμένος, ναμάτων τοῦ πνεύματος, ὤφθης ἰσάγγελε, καὶ πλημμυρῶν θεῖα δόγματα,

καὶ καταρδεύων τῆς Ἐκκλησίας ἅπαν τὸ πλήρωμα, βυθίζων τὸ στέφος δέ, τὸ τῶν αἱρέσεων, ἐν τῷ πελάγει τῶν θείων σου, λογίων πάτερ, καὶ ἐν τῷ βάθει τῶν νοημάτων σου, σὺ γὰρ πανσόφως ὁμοούσιον, τῷ τεκόντι Πατρὶ τὸν Δεσπότην Χριστόν, ἀνεκήρυξας θεῖε Ἀθανάσιε πανόλβιε.

Νῦν οὐρανὸς τοῖς ἀγγέλοις συγχορεύει, κτίσει συνευφραίνονται, βροτῶν συστήματα· ὁ γὰρ ἐν γῇ οὐρανόφρονας δεικνὺς τοὺς πάντας, κλίμακι θείᾳ σεπτῶν ῥημάτων αὐτοῦ, οὗτος τὴν ἐπάνοδον τῶν θεοδρόμων βαθμῶν, ὡς Ἰακὼβ νέος δείκνυσιν, Ἀγγέλων θείων, ἀγαλλομένων τῇ μεταθέσει αὐτοῦ· διὸ βοῶμεν παμμακάριστε τῶν ἀΰλων ἀγγέλων συνόμιλε, χρυσορρόα· Δυσώπει τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὡς μυστηπόλος καὶ θεῖος Ἱεράρχης κινδύνους ὑπέμεινας καὶ διωγμοὺς καρτερῶς, ἐπιβουλάς τε πολυάθλε, καὶ ἐξορίας, πολυχρονίους διὰ τὴν πίστιν Χριστοῦ, τρανῶς ὁμοούσιον καὶ συναΐδιον, καὶ ἰσουργὸν καὶ συνάναρχον, Χριστόν· κηρύττων, τῷ προανάρχῳ καὶ συνανάρχῳ Πατρί· ὅθεν αὐτός σε κατεκόσμησε, λαμπροτάτοις σαφῶς διαδήμασι, καὶ περίβλεπτον πάσῃ Οἰκουμένῃ ἀναδέδειχε.

*Δόξα·* ἦχος πλ. α΄.

Τῆς Ὀρθοδόξου πίστεως, διὰ τὴν πνευματικὴν σοφίαν, διδάσκαλος ὤφθης, Ἀθανάσιε μακάριε, Χριστὸν εὑρὼν ποδηγέτην, τὰς βουλὰς τῶν κακοδόξων, αἱρετικῶν διεσκέδασας· διὸ αἰτοῦμέν σε Ἅγιε, πρεσβεύειν ὑπὲρ ἡμῶν ἄχρι τέλους, τὴν ὑπὸ σοῦ βεβαιωθεῖσαν ὀρθὴν πίστιν ἀσάλευτον φυλαχθῆναι ἡμῖν, καὶ τὸ μέγα ἔλεος παρ᾽ αὐτοῦ τοῦ Σωτῆρος, τῶν ὅλων δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν.



*Καὶ νῦν.* Ἀναστάσεως ἡμέρα.

ἢ τῆς τυχούσης ἑορτῆς.

Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.

Δίδοται δὲ καὶ ἅγιον ἔλαιον τοῖς ἀδελφοῖς, ἐκ τῆς κανδήλας τοῦ Ἁγίου·

**Εἰς τὴν λειτουργίαν**

Τὰ τυπικά, καὶ ἐκ τοῦ κανόνος ᾠδὴ γ΄. ἦχος α΄. Δεῦτε πόμα πίωμεν καινὸν ἐκ πηγῆς. Καὶ ᾠδὴ ς΄. ἦχος πλ. δ΄. Ὑπέρτερος τῆς τῶν λόγων. Ἀπόστολον καὶ Εὐαγγέλιον ζήτει τῇ ιγ΄. Νοεμβρίου.

εἰς τὸ Ἐξαιρέτως.

Ὁ ἄγγελος ἐβόα, τῇ Κεχαριτωμένῃ.

*Κοινωνικόν·* Εἰς μνημόσυνον αἰώνιον.

**Κανὼν παρακλητικὸς**

*Τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν Ἀθανασίου Ἀρχιεπισκόπου Ἀλεξανδρείας τοῦ Μεγάλου.*

Ποίημα κυρίου Ἰωσήφ.

Ψάλλεται τὴν ΙΖ. Ἰανουαρίου καὶ Α΄. Μαΐου ἑσπέρας.

Εὐλογήσαντος τοῦ ἱερέως, τὸ Κύριε εἰσάκουσον τὸ Θεὸς Κύριος, Τροπάρια ἦχος Δ΄.

Τῇ Θεοτόκῳ ἐκτενῶς.

Οἱ τῷ Ναῷ σου τῷ σεπτῷ παρεδρεύοντες, καὶ ἐν αὐτῷ σε εὐσεβῶς μεγαλύνοντες, ὡς Οἰκουμένης μέγιστον διδάσκαλον πίστει δυσωποῦμέν σε Ἀθανάσιε μάκαρ, πάσης ἐξελοῦ ἡμᾶς τοῦ ἐχθροῦ τυραννίδος, καὶ τῆς μελλούσης ῥῦσαι ἀπειλῆς, καὶ τῆς γεέννης ταῖς σαῖς παρακλήσεσι.

ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

*Δόξα· τὸ αὐτό. Καὶ νῦν· Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ, σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Τὸ Ἐλέησόν με ὁ Θεός· καὶ ὁ Κανών.

Ὠδὴ α'. Ἦχος πλ. Δ'.

Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν.

Στίχος.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ γνήσιος φίλος τοῦ λυτρωτοῦ, παθῶν με φιλίας ἐλευθέρωσον, τὸν πολλαῖς ἀπάταις τοῦ βίου πλανηθέντα, καὶ ἀγνωσίας νυκτὶ καλυπτόμενον.

Ἅγιε τοῦ Θεοῦ.

Ἱλέωσαι μάκαρ τὸν εὐμενῆ, Θεὸν καὶ Σωτῆρα, ἐλεῆσαί με καὶ δεινῆς, ἐπηρείας πάτερ ῥύσασθαί με τὸν προσφυγόντα πιστῶς ἐν τῇ σκέπῃ σου.

*Δόξα Πατρί.*

Στενούμενος πταίσμασι χαλεποῖς, καὶ πλήθει κινδύνων πιεζόμενος ἐκβοῶ· Πρόστηθί μοι θεῖε Ἱεράρχα, τῆς συνεχούσης ἀνάγκης καὶ λύτρωσαι.



*Καὶ νῦν· Θεοτοκίον.*

Πολλοῖς συνεχόμενος πειρασμοῖς, πρὸς σὲ καταφεύγω σωτηρίαν ἐπιζητῶν· ὦ μῆτερ τοῦ Λόγου καὶ Παρθένε τῶν δυσχερῶν καὶ δεινῶν με διάσωσον.

Ὠδὴ γ'. Σὺ εἶ τὸ στερέωμα.

Ἄνωθεν τοῖς δούλοις σου, τὴν σὴν βοήθειαν δώρησαι, σώζων ἡμᾶς, πάσης ἐπηρείας, καὶ κινδύνων καὶ θλίψεων.

Ἅγιε τοῦ Θεοῦ.

Ὅλον με τοῖς πάθεσι, περιστατούμενον Ἅγιε, καὶ πειρασμοῖς πονηρῶν ἀνθρώπων, μεσιτείαις σου λύτρωσαι.

*Δόξα Πατρί.*

Ῥεῖθρα τῶν ἰάσεων, ἡ σὴ σορὸς βρύουσα, παντοδαπὰ παύει τῶν ἀνθρώπων, ἀρρωστήματα ἔνδοξε.

*Καὶ νῦν· Θεοτοκίον.*

Ἥνωται ὁ κτίστης μου, ὑπερφυῶς ἐν σοὶ Δέσποινα ὅλον ἐμὲ θέλων ἀναπλάσαι διὰ σοῦ ὡς ηὐδόκησεν.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου Ἱεράρχα, ὅτι πάντες πρὸς σὲ νῦν καταφεύγομεν, ὡς ἔνθεον πρὸς Χριστὸν ἡμῶν πρέσβυν.

Εἶτα μνημονεύει ὁ Ἱερεύς, καὶ ψάλλομεν τὸ Κύριε, ἐλέησον ιβ'.
Μετὰ τὴν Ἐκφώνησιν·

Κάθισμα ἦχος Β'. Τὰ ἄνω ζητῶν.

Προστάτης φρουρός, γενοῦ μοι τῷ ἱκέτῃ σου καὶ πρέσβυς



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

θερμὸς πρὸς Κύριον σοῦ δέομαι, ὥς περ Ἰσαπόστολος, Ἀθανάσιε τούτου δεικνύμενος, καὶ ἐκ παντοίων ῥῦσαι με δεινῶν, τὸν πίστει καὶ πόθῳ σοι προσπίπτοντα.

Ὠδὴ Δ΄· Εἰσακήκοα, Κύριε.

Ὑψωθεὶς ἀπονοίᾳ μου, ὀλισθήσας πάθεσι κατενήνεγμαι, ἔγειρόν με κατακείμενον, ἐν βυθῷ Θεόφρον ἀπογνώσεως.

Ἅγιε τοῦ Θεοῦ.

Ἐν ὀδύνῃ καρδίας μου, τὸν ἐμὸν προστάτην σε τὸν θερμότατον, δυσωπῶ μὴ καταλίπῃς με, ἐξ ἐχθρῶν ἐπηρείας ἀπολλύμενον.

*Δόξα Πατρί.*

Σὲ πολύαθλε κέκτημαι, ἀσφαλῆ φρουρόν με καὶ καταφύγιον, προστηθί μοι μὴ παρίδῃς με, ἐν ἡμέρᾳ θλίψεώς μου καὶ σῶσόν με.

*Καὶ νῦν· Θεοτοκίον.*

Τῶν παθῶν μου τὸν τάραχον, ἡ τὸν κυβερνήτην τεκοῦσα Κύριον, καὶ τὸν κλύδωνα κατεύνασον, τῶν ἐμῶν πταισμάτων Θεονύμφευτε.

Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Υἱὸς ὤφθης ἡμέρας, ἔχων ἐν καρδίᾳ σου λάμπον φῶς ἄδυτον, δι' οὗ σκοτομήνη, τῆς ἀπάτης μειοῦται καὶ ἅπασι δαδουχεῖται γνῶσις, θείου φωτὸς διὸ βοῶ σοι· Φώτισόν μοι τὸν γνώμῃ τυφλώττοντα.



Ἅγιε τοῦ Θεοῦ.

Ἐν νυκτὶ καὶ ἡμέρᾳ σὲ ἐπικαλοῦμαι τὸν μέγαν προστάτην μου, ἐν παντὶ τόπῳ καὶ καιρῷ διαφύλαξον πάνσοφε, ἀπὸ πάσης βλάβης καὶ ἐπηρείας ἐναντίων, τὸν εἰς σὲ τὴν ἐλπίδα μου θέμενον.

*Δόξα Πατρί.*

Μὴ παρίδῃς με μάκαρ πίστει προστρέχοντα μηδὲ ἀπώσῃ με· γλώσσῃ γὰρ δολίᾳ κατ' ἐμοῦ οἱ μισοῦντές με φθέγγονται, πολεμοῦντες μάτην τοῦ ἀπολέσαι τὸν σὸν δοῦλον, ἀλλὰ πρόφθασον σῶσόν με Ἅγιε.

*Καὶ νῦν· Θεοτοκίον.*

Εὐχαρίστως βοῶ σοι· Χαῖρε Μητροπάρθενε, χαῖρε Θεόνυμφε, χαῖρε θεία σκέπη, χαῖρε ὅπλον καὶ τεῖχος ἀπόρθητον, χαῖρε προστασία καὶ βοηθὲ καὶ σωτηρία, τῶν εἰς σὲ προστρεχόντων ἐκ πίστεως.

Ὠδὴ ϛ΄. Τὴν δέησιν ἐκχεῶ.

Νοός μου τὰς ἐκτροπὰς θεραπεύσας καὶ καρδίας μου τὰ πάθη Θεόφρον, σωματικῶν ἀλγηδόνων με ῥῦσαι, καὶ ἐπηρείας ἁπάσης καὶ θλίψεως, καὶ δεῖξόν με ταῖς σαῖς λιταῖς, τοῦ ἐχθροῦ τῶν παγίδων ἀνώτερον.

Ἅγιε τοῦ Θεοῦ.

Συνεῖναί με τὸν πολλά σε ποθοῦντα, πολυπόθητε εὐδόκησον πάτερ, σὲ δυσωπῶ τὸν θερμόν μου προστάτην καὶ πίστει κράζω σοι· Ὦ Ἀθανάσιε, γενήθητί μοι βοηθὸς καὶ παντοίας ἀνάγκης με λύτρωσαι.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

*Δόξα Πατρί.*

Ἡγίασέ σε Ἀθανάσιε μάκαρ, ὁ πανάγιος Θεὸς ὃν δυσώπει, ἁγιασμὸν τοῖς σοῖς δούλοις ἐκπέμψας, καὶ φωτισμὸν καὶ πταισμάτων τὴν λύτρωσιν· προστάτης γὰρ παρὰ Θεοῦ ἐχαρίσθης ἡμῖν ἀκαταίσχυντος.

*Καὶ νῦν· Θεοτοκίον.*

Θανάτου καὶ τῆς φθορᾶς ὡς ἔσωσεν, ἑαυτὸν ἐκδεδωκὼς τῷ θανάτῳ, τὴν τῇ φθορᾷ καὶ θανάτῳ μου φύσιν κατασχεθεῖσαν Παρθένε δυσώπησον τὸν Κύριόν σου καὶ Υἱὸν τῆς ἐχθρῶν κακουργίας με ῥύσασθαι.

Ἐπίβλεψον ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Εἶτα μνημονεύει ὁ ἱερεύς, μετὰ δὲ τὴν Ἐκφώνησιν
Κοντάκιον ἦχος Β'.

Προστασία τῶν χριστιανῶν Ἀθανάσιε, ἡ πρὸς τὸν Σωτῆρα ὑπάρχει πρεσβεία σου· μὴ οὖν παρίδῃς ἡμῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον ὡς ἀγαθός, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι· τάχυνον εἰς πρεσβείαν καὶ σπεῦσον εἰς ἱκεσίαν, ὁ ἐντυγχάνων θαυμαστέ, ὑπὲρ πάντων τῶν τιμώντων σε.

Καὶ εὐθὺς τὸ Προκείμενον.
Τὸ στόμα μου λαλήσει σοφίαν (ἐκ τρίτου).
Στίχ. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη.
Ὁ Ἱερεύς· Τοῦ Κυρίου δεηθῶμεν.
Τὸ Πᾶσα πνοή.



*Εὐαγγέλιον· ἐκ τοῦ κατὰ Ἰωάννην.*

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος κλέπτης ἐστὶ καὶ λῃστής· ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας ποιμήν ἐστι τῶν προβάτων· τούτῳ ὁ θυρωρὸς ἀνοίγει, καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει, καὶ τὰ ἴδια πρόβατα καλεῖ κατ' ὄνομα καὶ ἐξάγει αὐτά. Καὶ ὅταν τὰ ἴδια πρόβατα ἐκβάλλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται, καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ, ὅτι οἴδασι τὴν φωνὴν αὐτοῦ. Ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν, ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ, ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν. Ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν, τίνα ἦν ἃ ἐλάλει αὐτοῖς. Εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν λέγω ὑμῖν, ὅτι ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων· πάντες ὅσοι ἦλθον πρὸ ἐμοῦ, κλέπται εἰσὶ καὶ λῃσταί, ἀλλ' οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα· Ἐγώ εἰμι ἡ θύρα, δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται καὶ εἰσελεύσεται, καὶ ἐξελεύσεται καὶ νομὴν εὑρήσει.

*Δόξα·* Ταῖς τοῦ Ἱεράρχου.
*Καὶ νῦν·* Ταῖς τῆς Θεοτόκου.

Εἶτα· Ἐλεῆσόν με ὁ Θεός· καὶ τὸ Ἰδιόμελον ἦχος πλ. Β'.

Ὅλην ἀποθέμενοι.

Χάριν κομισάμενος, παρὰ Χριστοῦ τοῦ Σωτῆρος, μάκαρ Ἀθανάσιε, νέμεις τοῖς τιμῶσί σε τὴν θεόρρυτον, τὴν αὐτὴν δώρησαι, τοῖς πιστοῖς δούλοις σου, παρακλήσει σοὶ προσπίπτουσι, δι' ἧς καὶ φώτισον, κόρας τῆς ψυχῆς μου πρε-

σβείαις σου καὶ ῥύπου ἀποκάθαρον, πλάνης καὶ παθῶν καὶ ἀξίωσον, σὲ τοὺς εὐφημοῦντας, τυχεῖν τε τῆς ἀφέσεως σοφὲ τῆς καταδίκης ῥυόμενος τοῦ πυρὸς τοὺς δούλους σου.

Εἶτα· Σῶσον ὁ Θεὸς τὸν λαόν σου.

Τὸ Κύριε, ἐλέησον, ιβ'. Μετὰ δὲ τὴν Ἐκφώνησιν

Ὠδὴ Ζ'. Παῖδες Ἑβραίων ἐν καμίνῳ.

Νῦν ἐλλαμπόμενος τρισμάκαρ, τῇ τοῦ πνεύματος αὐγῇ τοὺς σὲ ὑμνοῦντας, ἐλλαμφθῆναι σὺν σοὶ εὐδόκησον βοῶντας· Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ἅγιε τοῦ Θεοῦ.

Κόσμος πατέρων ἀνεδείχθης, ὑπερκόσμια σκηνώματα τρισμάκαρ, κατοικῶν καὶ ἡμῖν τοῖς πόθῳ σε τιμῶσι, τὸ κοσμικὸν κλυδώνιον, κατευνάζων σαῖς πρεσβείαις.

*Δόξα Πατρί.*

Λάμπων ἀκτῖσι θεωρίας, διεσκέδασας Ἀρείου βλασφημίας, καὶ τῆς τούτων πολλούς, κακώσεως ἐρρύσω, βοῶντες Ἀθανάσιε· Ὁ Θεὸς εὐλογητὸς εἶ.

*Καὶ νῦν· Θεοτοκίον.*

Φῶς ἡ τεκοῦσα Θεοτόκε, σκοτισθέντα με νυκτὶ ἁμαρτημάτων, φωταγώγησον σύ, φωτὸς οὖσα δοχεῖον, τὸ καθαρὸν καὶ ἄμωμον ἵνα πόθῳ σε δοξάζω.

Ὠδὴ η'. Ἑπταπλασίως κάμινον.

Ὡς καρτερὸν ἀδάμαντα Ἱερὲ Ἀθανάσιε τὸν ἀθλητικόν σου βίον πάντες ἔχομεν, καρδίαν στομούμεθα, καὶ τῶν παθῶν



τὰς φάλαγγας τρέπομεν ὡς ἔθνη ἀγαπῶντα πολέμους, καὶ πίστει ἐκβοῶμεν· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἅγιε τοῦ Θεοῦ

Θανατωθεὶς ὁ δείλαιος, ἡδονῶν τῷ ἐκπτώματι, ἔρριμμαι εἰς γῆν, θέαμα θρήνων ἄξιον, σοφὲ Ἀθανάσιε, νῦν ἐπ' ἐμὲ ἐπίβλεψον, δεῖξον ἐν ἐμοὶ τὴν τῶν θαυμάτων σου χάριν· βροτῶν ἰδέτω γένος, ὅσι σύ μου προστάτης, καὶ σῴζεις ἐκ θανάτου, τοὺς σοὺς ἀχρείους δούλους.

*Δόξα Πατρί.*

Περιφανῶς ἐδίδαξας μίαν σέβειν Θεότητα, τὴν ἐν τῷ Πατρί, καὶ τῷ Υἱῷ καὶ Πνεύματι, καὶ δύναμιν ἄπειρον, καὶ βασιλείαν μίαν σαφῶς, τῶν ἰδιωμάτων ἀσφαλῶς τηρουμένων, ἑκάστῃ ὑποστάσει, ᾗ καὶ ψάλλων ἐβόας· Λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

*Καὶ νῦν· Θεοτοκίον.*

Ἱερωτέρα πέφηνας, Θεοτόκε πανύμνητε, τῆς ὑπερκοσμίου τῶν ἀγγέλων τάξεως, τῶν τούτων γὰρ τέτοκας, Δημιουργὸν καὶ Κύριον, ἐκ παρθενικῆς ἀπειρογάμου νηδύος, ἐν δύο ταῖς οὐσίαις, ἀσυγχύτως ἀτρέπτως, μιᾷ δὲ ὑποστάσει Θεὸν σεσαρκωμένον.

Ὠδὴ Θ'. Ἔφριξε πᾶσα ἀκοή.

Ἵνα σε θείαις, ἐν φωναῖς, μακαρίζωμεν ἀΰλως βιώσαντα, καὶ τὰ οὐράνια περιπολοῦντα καὶ ἀγαλλόμενον, παθῶν καὶ θλίψεων ἡμᾶς εὐχαῖς διάσῳζε καὶ περιστάσεων, Ἱεράρχα τοῦ Χριστοῦ Ἀθανάσιε.

Ἅγιε τοῦ Θεοῦ.

Ὡς κλῆμα τῆς ἀληθινῆς, γεγονὼς πάτερ ἀμπέλου ἐβλάστησας, ἀρετῶν βότρυας, θαυμάτων γλεῦκος ἐναποστάζοντα, ἐξ οὗ οἱ πίνοντες πιστῶς ὑγείαν κομίζονται καὶ ἀγαλλίασιν, εὐφημοῦντές σε ἀεὶ Ἀθανάσιε.

Ἅγιε τοῦ Θεοῦ.

Σήμερον ἄγει ἑορτὴν ἐτησίαν καὶ λαμπρὰν καὶ χαρμόσυνον, ἡ Ἐκκλησία Χριστοῦ τὴν πάντιμόν σου μάκαρ πανήγυριν, καὶ συναγάλλονται ἡμῖν προφῆται Ἀπόστολοι, καὶ πάντες Μάρτυρες, Ἱεράρχα τοῦ Χριστοῦ Ἀθανάσιε.

*Δόξα Πατρί.*

Ἥλιος ὤφθης φωταυγής, ἀρετῶν λαμπαδουχίας τὰ πέρατα, περιαυγάζων ἀεὶ καὶ νῦν πρὸς φέγγος μετέβης ἄρρητον, τὴν φωτοφόρον σου διό, πρεσβείαν αἰτοῦντάς σε ὦ Ἀθανάσιε, σκοτασμοῦ πάντας δεινῶν ἀπολύτρωσαι.

*Καὶ νῦν· Θεοτοκίον.*

Φρίττω σου μόνε Βασιλεῦ, τὴν δευτέραν παρουσίαν καὶ δέδοικα, ἄμετρα πταίσας σοι, καὶ μεταγνώσει μὴ βελτιούμενος, ἀλλ' ὡς ὑπάρχων ἀγαθός, ἐπίστρεψον σῶσόν με, τῆς κυησάσης σε, εὐπροσδέκτοις Ἰησοῦ παρακλήσεσι.

Καὶ εὐθύς· Ἄξιόν ἐστιν ὡς ἀληθῶς.
Καὶ τὰ παρόντα Μεγαλυνάρια.

Τὸν ἐν Ἱεράρχαις θαυματουργόν, καὶ τὸν ἐν κινδύνοις ἀπροσμάχητον βοηθόν, τὸν θεῖον ποιμένα καὶ λειτουργὸν Κυρίου, Ἀθανάσιον τὸν Μέγαν, ὕμνοις τιμήσωμεν.



Χαίροις ἀθανάτου ῥεῖθρον ζωῆς, Νεῖλε χρυσορρόα. Ἀθανάσιε καὶ ποιμὴν τῶν Ἀλεξανδρέων, φωστὴρ τῆς Οἰκουμένης, τῶν θείων Διδασκάλων κρηπὶς καὶ ἔρεισμα.

Δεῦτε εὐφημήσωμεν οἱ πιστοὶ τῆς Θεολογίας τὸν ἀκένωτον θησαυρόν, τὸν ὑπὲρ τοῦ κόσμου πρεσβεύοντα Κυρίῳ τὸν θεῖον Ἱεράρχην τοῦ Παντοκράτορος.

Νεῖλον τὸν χρυσόρρειθρον καὶ πηγὴν τῆς ἀθανασίας Ἀθανάσιον τὸν κλεινόν, τὸν τὴν Οἰκουμένην ἀρδεύοντα πλουσίως, σεπταῖς διδασκαλίαις ὕμνοις τιμήσωμεν.

Λύσιν τῶν πταισμάτων μου καὶ δεινῶν, αἴτησαι εὑρεῖν με Ἀθανάσιε τὸν Χριστόν, καὶ σοὶ παραστῆναι μετὰ σαρκὸς τὴν λύσιν, κἂν μέγα θεοφάντορ ᾖ τὸ αἰτούμενον.

Πᾶσαι τῶν ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τὸ σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον· ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν.
Τὰ παρόντα Τροπάρια· ἦχος πλ. Β'.
Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς.
Δόξα. Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γάρ.
Καὶ νῦν. Τῆς εὐσπλαγχνίας τὴν πύλην.
Ὁ ἱερεὺς μνημονεύει ὡς εἴθισται.
Ἐλέησον ἡμᾶς ὁ Θεὸς κ.τ.λ.

Μετὰ δὲ τὴν Ἀπόλυσιν, οἱ Ἀδελφοὶ ἀσπάζονται τὴν εἰκόνα τοῦ Ἁγίου Ἀθανασίου, ψάλλοντες τὰ παρόντα Τροπάρια· ἦχος Β'.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Πάντων προστατεύεις ἐν σπουδῇ, τῶν καταφευγόντων ἐκ πόθου, τῇ σῇ ἐνθέῳ στοργῇ· πάτερ Ἀθανάσιε· σὺ γὰρ ὡς

4

θεῖος ποιμήν, τῶν πιστῶν Ἱεράρχης τε, Χριστοῦ χρηματίσας, παρρησίαν εὕρηκας ὡς τοῦ αὐτοῦ μιμητής· ὅθεν τὰς ἡμῶν παρακλήσεις, πρόσδεξαι καὶ δὸς ἡμῖν πᾶσι τὰς εὐεργεσίας σου τοῖς δούλοις σου.

*Θεοτοκίον*, ὅμοιον.

Πάντων προστατεύεις ἀγαθή, τῶν καταφευγόντων ἐν πίστει, τῇ κραταιᾷ σου χειρί· ἄλλην γὰρ οὐκ ἔχομεν, ἁμαρτωλοὶ πρὸς Θεόν, ἐν κινδύνοις καὶ θλίψεσιν, ἀεὶ μεσιτείαν, οἱ καταπαμπτόμενοι, ὑπὸ πταισμάτων πολλῶν, μῆτερ τοῦ Θεοῦ τοῦ Ὑψίστου, ὅθεν σοι προσπίπτομεν· Ῥῦσαι, πάσης περιστάσεως τοὺς δούλους σου.

Ἕτερον ὅμοιον.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, μῆτερ τοῦ Θεοῦ, φύλαξον ἡμᾶς ὑπὸ τὴν σκέπην σου.

Τέλος τοῦ παρακλητικοῦ κανόνος.

## Κανὼν παρακλητικός.

*Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν*
*Ἀθανασίου Ἀρχιεπισκόπου Ἀλεξανδρείας.*

Ποίημα κυρίου Ἰωσήφ.

Εὐλογήσαντος τοῦ ἱερέως λέγομεν τὸ Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου· εἶτα τὸ Θεὸς Κύριος, καὶ ψάλλομεν τὰ παρόντα Τροπάρια, ἦχος Δ΄.

Τῇ Θεοτόκῳ ἐκτενῶς.

Οἱ τῷ ναῷ σου τῷ σεπτῷ παρεδρεύοντες, καὶ ἐν αὐτῷ σε εὐσεβῶς μεγαλύνοντες ὡς Οἰκουμένης μέγιστον διδάσκα-



λον πίστει δυσωποῦμέν σε Ἀθανάσιε μάκαρ, πάσης ἐξελοῦ ἡμᾶς τοῦ ἐχθροῦ τυραννίδος, καὶ τῆς μελλούσης ῥῦσαι ἀπειλῆς, καὶ τῆς γεέννης ταῖς σαῖς παρακλήσεσι.

*Δόξα· τὸ αὐτό. Καὶ νῦν· Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

Εἶτα τὸ Ἐλέησόν με ὁ Θεός.

Καὶ ἀρχόμεθα τοῦ Παρακλητικοῦ κανόνος.

Ὠδὴ α΄. ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ γνήσιος φίλος τοῦ λυτρωτοῦ, παθῶν με φιλίας ἐλευθέρωσον τὸν πολλαῖς, ἀπάταις τοῦ βίου πλανηθέντα, καὶ ἀγνωσίας νυκτὶ καλυπτόμενον.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἱλέωσαι μάκαρ τὸν εὐμενῆ, Θεὸν καὶ Σωτῆρα, ἐλεῆσαί με καὶ δεινῆς, ἐπηρείας πάτερ ῥύσασθαί με, τὸν προσφυγόντα πιστῶς ἐν τῇ σκέπῃ σου.

*Δόξα Πατρί.*

Στενούμενος πταίσμασι χαλεποῖς, καὶ πλήθει κινδύνων, πιεζόμενος ἐκβοῶ· Πρόστηθί μοι θεῖε Ἱεράρχα, τῆς συνεχούσης ἀνάγκης καὶ λύτρωσαι.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

*Καὶ νῦν· Θεοτοκίον.*

Πολλοῖς συνεχόμενος πειρασμοῖς, πρὸς σὲ καταφεύγω, σωτηρίαν ἐπιζητῶν, ὦ μῆτερ τοῦ Λόγου καὶ Παρθένε, τῶν δυσχερῶν καὶ δεινῶν με διάσωσον.

Ὠδὴ γ'. Σὺ εἶ τὸ στερέωμα.

Ἄνωθεν τοῖς δούλοις σου, τὴν σὴν βοήθειαν δώρησαι, σῴζων ἡμᾶς πάσης ἐπηρείας, καὶ κινδύνων καὶ θλίψεων.

Ἅγιε τοῦ Θεοῦ.

Ὅλον με τοῖς πάθεσι, περιστατούμενον Ἅγιε, καὶ πειρασμοῖς πονηρῶν ἀνθρώπων, μεσιτείαις σου λύτρωσαι.

*Δόξα Πατρί.*

Ῥεῖθρα τῶν ἰάσεων, ἡ σὴ σορὸς βρύουσα παντοδαπά, παύει τῶν ἀνθρώπων, ἀρρωστήματα ἔνδοξε·

*Καὶ νῦν· Θεοτοκίον.*

Ἥνωται ὁ κτίστης μου, ὑπερφυῶς ἐν σοὶ Δέσποινα, ὅλον ἐμέ, θέλων ἀναπλάσαι, διὰ σοῦ ὡς ηὐδόκησεν.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου Ἱεράρχα, ὅτι πάντες πρὸς σὲ νῦν καταφεύγομεν, ὡς ἔνθεον πρὸς Χριστὸν ἡμῶν πρέσβυν.

Εἶτα μνημονεύει ὁ Ἱερεύς, καὶ ψάλλομεν τὸ Κύριε, ἐλέησον, ιβ'.
Μετὰ δὲ τὴν Ἐκφώνησιν, Κάθισμα ἦχος β'.

Προστάτης φρουρός, γενοῦ μοι τῷ ἱκέτῃ σου, καὶ πρέσβυς θερμός, πρὸς Κύριον σοῦ δέομαι, ὥς περ Ἰσαπόστολος, Ἀθανάσιε τούτου δεικνύμενος, καὶ ἐκ παντοίων ῥῦσαι με δεινῶν, τὸν πίστει καὶ πόθῳ σοι προσπίπτοντα.



Ὠδὴ Δ'. Εἰσακήκοα Κύριε.

Ὑψωθεὶς ἀπονοίᾳ μου, ὀλισθήσας πάθεσι, κατενήνεγμαι· ἔγειρόν με κατακείμενον, ἐν βυθῷ θεόφρον ἀπογνώσεως.

Ἅγιε τοῦ Θεοῦ.

Ἐν ὀδύνῃ καρδίας μου, τὸν ἐμὸν προστάτην σε τὸν θερμότατον, δυσωπῶ μὴ καταλίπῃς με, ἐξ ἐχθρῶν ἐπηρείας ἀπολλύμενον.

*Δόξα Πατρί.*

Σὲ πολύαθλε κέκτημαι ἀσφαλῆ φρουρόν με καὶ καταφύγιον, πρόστηθί μοι μὴ παρίδῃς με, ἐν ἡμέρᾳ θλίψεώς μου καὶ σῶσόν με.

*Καὶ νῦν· Θεοτοκίον.*

Τῶν παθῶν μου τὸν τάραχον, ἡ τὸν κυβερνήτην τεκοῦσα Κύριον, καὶ τὸν κλύδωνα κατεύνασον, τῶν ἐμῶν πταισμάτων Θεονύμφευτε.

Ὠδὴ ε'. Ἵνα τί με ἀπώσω.

Υἱὸς ὤφθης ἡμέρας, ἔχων ἐν καρδίᾳ σου λάμπον φῶς ἄδυτον, δι' οὗ σκοτομήνη, τῆς ἀπάτης μειοῦται, καὶ ἅπασι, δαδουχεῖται γνῶσις, θείου φωτὸς διὸ βοῶ σοι· Φώτισόν με τὸν γνώμῃ τυφλώττοντα.

Ἅγιε τοῦ Θεοῦ.

Ἐν νυκτὶ καὶ ἡμέρᾳ σὲ ἐπικαλοῦμαι τὸν μέγαν προστάτην μου, ἐν παντὶ με τόπῳ καὶ καιρῷ, διαφύλαξον πάνσοφε, ἀπὸ πάσης βλάβης καὶ ἐπηρείας ἐναντίων, τὸν εἰς σὲ τὴν ἐλπίδα μου θέμενον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

*Δόξα Πατρί.*

Μὴ παρίδῃς με μάκαρ, πίστει σοι προστρέχοντα, μηδὲ ἀπώσῃ με, γλώσσῃ γὰρ δολίᾳ κατ' ἐμοῦ οἱ μισοῦντές με φθέγγονται, πολεμοῦντες μάτην, τοῦ ἀπολέσαι τὸν σὸν δοῦλον, ἀλλὰ πρόφθασον σῶσόν με Ἅγιε.

*Καὶ νῦν· Θεοτοκίον.*

Εὐχαρίστως βοῶ σοι· Χαῖρε μητροπάρθενε, χαῖρε Θεόνυμφε, χαῖρε θεία σκέπη, χαῖρε ὅπλον καὶ τεῖχος ἀπόρθητον, χαῖρε προστασία καὶ βοηθὲ καὶ σωτηρία, τῶν εἰς σὲ προστρεχόντων ἐκ πίστεως.

Ὠδὴ ϛ'. Τὴν δέησιν ἐκχεῶ.

Νοός μου τὰς ἐκτροπὰς θεραπεύσας, καὶ καρδίας μου τὰ πάθη Θεόφρον, σωματικῶν ἀλγηδόνων με ῥῦσαι, καὶ ἐπηρείαις ἁπάσης καὶ θλίψεως, καὶ δεῖξον ταῖς σαῖς λιταῖς τοῦ ἐχθροῦ τῶν παγίδων ἀνώτερον.

Ἅγιε τοῦ Θεοῦ.

Συνεῖναί με τὸν πολλά σε ποθοῦντα, πολυπόθητε εὐδόκησον πάτερ, σὲ δυσωπῶ τὸν θερμόν μου προστάτην, καὶ πίστει κράζω σοι· Ὦ Ἀθανάσιε, γενήθητί μοι βοηθός, καὶ παντοίας ἀνάγκης με λύτρωσαι.

*Δόξα Πατρί.*

Ἡγίασέ σε Ἀθανάσιε μάκαρ, ὁ πανάγιος Θεὸς ὃν δυσωπεῖ, ἁγιασμὸν τοῖς σοῖς δούλοις ἐκπέμψας, καὶ φωτισμὸν καὶ πταισμάτων τὴν λύτρωσιν· προστάτης γὰρ παρὰ Θεοῦ ἐχαρίσθης ἡμῖν ἀκαταίσχυντος.



*Καὶ νῦν· Θεοτοκίον.*

Θανάτου καὶ τῆς φθορᾶς ὡς ἔσωσεν, ἑαυτὸν ἐκδεδωκὼς τῷ θανάτῳ, τὴν τῇ φθορᾷ καὶ θανάτῳ μου φύσιν, κατασχεθεῖσαν παρθένε, δυσώπησον τὸν Κύριόν σου καὶ Υἱόν, τῆς ἐχθρῶν κακουργίας με ῥύσασθαι.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, πανύμνητε.

Εἶτα μνημονεύει ὁ ἱερεύς.

Μετὰ δὲ τὴν Ἐκφώνησιν ψάλλομεν,

*Κοντάκιον· ἦχος β'.*

Προστασία τῶν χριστιανῶν Ἀθανάσιε, ἡ πρὸς τὸν Σωτῆρα ὑπάρχει πρεσβεία σου· μὴ οὖν παρίδῃς ἡμῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον ὡς ἀγαθός, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι· Τάχυνον εἰς πρεσβείαν καὶ σπεῦσον εἰς ἱκεσίαν, ὁ ἐντυγχάνων θαυμαστέ, ὑπὲρ πάντων τῶν τιμώντων σε.

Καὶ εὐθὺς λέγομεν τὸ Προκείμενον.

Τὸ στόμα μου λαλήσει σοφίαν (ἐκ τρίτου).

Στίχ. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη.

Ὁ ἱερεύς· Τοῦ Κυρίου δεηθῶμεν, τὸ Πᾶσα πνοή.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν ἐκεῖνος κλέπτης ἐστὶ καὶ λῃστής· ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας, ποιμήν ἐστι τῶν προβάτων, τούτῳ

ΠΑΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ὁ θυρωρὸς ἀνοίγει, καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει· καὶ τὰ ἴδια πρόβατα καλεῖ κατ' ὄνομα, καὶ ἐξάγει αὐτά. Καὶ ὅταν τὰ ἴδια πρόβατα ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται· καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ, ὅτι οἴδασι τὴν φωνὴν αὐτοῦ. Ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ· ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν. Ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν τίνα ἦν ἃ ἐλάλει αὐτοῖς. Εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων. Πάντες ὅσοι πρὸ ἐμοῦ ἦλθον, κλέπται εἰσὶ καὶ λῃσταί· ἀλλ' οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα. Ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται· καὶ εἰσελεύσεται, καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει.

*Δόξα.* Ταῖς τοῦ Ἱεράρχου.

*Καὶ νῦν.* Ταῖς τῆς Θεοτόκου.

Τὸ Ἐλέησόν με ὁ Θεός· καὶ τὸ παρὸν Ἰδιόμελον.

Ἦχος πλ. Β'. Ὅλην ἀποθέμενοι.

Χάριν κομισάμενος, παρὰ Χριστοῦ τοῦ Σωτῆρος, μάκαρ Ἀθανάσιε, νέμεις τοῖς τιμῶσί σε, τὴν θεόρρυτον τὴν αὐτὴν δώρησαι τοῖς πιστοῖς δούλοις σου, παρακλήσει σοὶ προσπίπτουσι, δι' ἧς καὶ φώτισον κόρας τῆς ψυχῆς μου πρεσβείαις σου, καὶ ῥύπου ἀποκάθαρον, πλάνης καὶ παθῶν, καὶ ἀξίωσον, σὲ τοὺς εὐφημοῦντας, τυχεῖν τε τῆς ἀφέσεως σοφέ, τῆς καταδίκης ῥυόμενοι, τοῦ πυρὸς τοὺς δούλους σου.

Εἶτα· Σῶσον ὁ Θεὸς τὸν λαόν σου.

Τὸ Κύριε, ἐλέησον, ιβ'.

Ὁ Ἱερεύς· Ἐλέει καὶ οἰκτιρμοῖς· καὶ τὰ λοιπά.



Ὠδὴ Ζ'. Παῖδες Ἑβραίων.

Νῦν ἐλλαμπόμενος τρισμάκαρ, τῇ τοῦ πνεύματος αὐγῇ, τοὺς σὲ ὑμνοῦντας, ἐλλαμφθῆναι σὺν σοί, εὐδόκησον βοῶντας· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ἅγιε τοῦ Θεοῦ.

Κόσμος πατέρων ἀνεδείχθης ὑπερκόσμια σκηνώματα τρισμάκαρ, κατοικῶν καὶ ἡμῖν, τοῖς πόθῳ σε τιμῶσι, τὸ κοσμικὸν κλυδώνιον, κατευνάζων σαῖς πρεσβείαις.

*Δόξα Πατρί.*

Λάμπων ἀκτῖσι θεωρίας, διεσκέδασας Ἀρείου βλασφημίας καὶ τῆς τούτων πολλούς, κακώσεως ἐρρύσω βοῶντας Ἀθανάσιε· Ὁ Θεὸς εὐλογητὸς εἶ.

*Καὶ νῦν· Θεοτοκίον.*

Φῶς ἡ τεκοῦσα Θεοτόκε, σκοτισθέντα με νυκτὶ ἁμαρτημάτων, φωταγώγησον σύ, φωτὸς οὖσα δοχεῖον τὸ καθαρὸν καὶ ἄμωμον, ἵνα πόθῳ σε δοξάζω.

Ὠδὴ η'. Ἑπταπλασίως κάμινον.

Ὡς καρτερὸν ἀδάμαντα, Ἱερὲ Ἀθανάσιε, τὸν ἀθλητικόν σου βίον πάντες ἔχοντες, καρδίαν στομούμεθα, καὶ τῶν παθῶν τὰς φάλαγγας, τρέπομεν ὡς ἔθνη ἀγαπῶντα πολέμους, καὶ πίστει ἐκβοῶμεν· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἅγιε τοῦ Θεοῦ.

Θανατωθεὶς ὁ δείλαιος, ἡδονῶν τῷ ἐκπτώματι, ἔρριμμαι

ΓΕΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΕΣΤΟΡΗΣ ΠΑΠΑ...

εἰς γῆν θέαμα θρήνων ἄξιον, σοφὲ Ἀθανάσιε νῦν ἐπ' ἐμὲ ἐπίβλεψον· δεῖξον ἐν ἐμοὶ τὴν τῶν θαυμάτων σου χάριν· βροτῶν ἰδέτω γένος, ὅτι σύ μου προστάτης καὶ σώζεις ἐκ θανάτου τοὺς σοὺς ἀχρείους δούλους.

*Δόξα Πατρί.*

Περιφανῶς ἐδίδαξας, μίαν σέβειν Θεότητα, τὴν ἐν τῷ Πατρί, καὶ τῷ Υἱῷ καὶ Πνεύματι, καὶ δύναμιν ἄπειρον καὶ βασιλείαν μίαν σαφῶς, τῶν ἰδιωμάτων ἀσφαλῶς τηρουμένων, ἑκάστῃ ὑποστάσει, ᾗ καὶ ψάλλων ἐβόας· Λαὸ ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

*Καὶ νῦν· Θεοτοκίον.*

Ἱερωτέρα πέφηνας, Θεοτόκε πανύμνητε, τῆς ὑπερκοσμίου τῶν Ἀγγέλων τάξεως, τῶν τούτων γὰρ τέτοκας, δημιουργὸν καὶ Κύριον, ἐκ παρθενικῆς ἀπειρογάμου νηδύος, ἐν δύο ταῖς οὐσίαις, ἀσυγχύτως ἀτρέπτως, μιᾷ δὲ ὑποστάσει, Θεὸν σεσαρκωμένον.

Ὠδὴ Θ'. Ἔφριξε πᾶσα ἀκοή.

Ἵνα σε θείαις ἐν φωναῖς, μακαρίζωμεν αὔλως βιώσαντα, καὶ τὰ οὐράνια, περιπολοῦντα καὶ ἀγαλλόμενον, παθῶν καὶ θλίψεων ἡμᾶς, εὐχαῖς σου διάσωζε καὶ περιστάσεων, Ἱεράρχα τοῦ Χριστοῦ Ἀθανάσιε.

Ἅγιε τοῦ Θεοῦ.

Ὡς κλῆμα τῆς ἀληθινῆς, γεγονὼς πάτερ ἀμπέλου ἐβλά-



στησας, ἀρετῶν βότρυας, θαυμάτων γλεῦκος ἐναποστάζοντα, ἐξ οὗ οἱ πίνοντες πιστῶς ὑγείαν κομίζονται καὶ ἀγαλλίασιν, εὐφημοῦντες ἀεὶ Ἀθανάσιε.

Ἅγιε τοῦ Θεοῦ.

Σήμερον ἄγει ἑορτήν, ἐτησίαν καὶ λαμπρὰν καὶ χαρμόσυνον, ἡ Ἐκκλησία Χριστοῦ, τὴν πάντιμόν σου μάκαρ πανήγυριν, καὶ συναγάλλονται ἡμῖν, Προφῆται, Ἀπόστολοι καὶ πάντες Ἅγιοι, Ἱεράρχα τοῦ Χριστοῦ Ἀθανάσιε.

*Δόξα Πατρί.*

Ἥλιος ὤφθης φωταυγής, ἀρετῶν λαμπαδουχίας τὰ πέρατα, περιαυγάζων ἀεί, καὶ νῦν πρὸς φέγγος μετέβης ἄρρητον, τὴν φωτοφόρον σου διὸ πρεσβείαν αἰτοῦντάς σε, ὦ Ἀθανάσιε, σκοτασμοῦ πάντας δεινῶν ἀπολύτρωσαι.

*Καὶ νῦν· Θεοτοκίον.*

Φρίττω σου μόνε Βασιλεῦ, τὴν δευτέραν παρουσίαν καὶ δέδοικα, ἄμετρα πταίσας σοι, καὶ μεταγνώσει μὴ βελτιούμενος, ἀλλ' ὡς ὑπάρχων ἀγαθός, ἐπίστρεψον σῶσόν με τῆς κυησάσης σε, εὐπροσδέκτοις Ἰησοῦ παρακλήσεσι.

Εἶτα τό· Ἄξιόν ἐστιν ὡς ἀληθῶς.

Καὶ τὰ παρόντα Μεγαλυνάρια.

Τὸν ἐν Ἱεράρχαις θαυματουργόν, καὶ τὸν ἐν κινδύνοις ἀπροσμάχητον βοηθόν, τὸν θεῖον ποιμένα, καὶ λειτουργὸν Κυρίου, Ἀθανάσιον τὸν Μέγαν, ὕμνοις τιμήσωμεν.

Χαίροις ἀθανάτου ῥεῖθρον ζωῆς, Νεῖλε χρυσορρόα Ἀθανάσιε καὶ ποιμὴν τῶν Ἀλεξανδρέων, φωστὴρ τῆς Οἰκουμένης, τῶν θείων Διδασκάλων κρηπὶς καὶ ἔρεισμα.

Δεῦτε εὐφημήσωμεν οἱ πιστοί, τῆς Θεολογίας τὸν ἀκένωτον θησαυρόν, τὸν ὑπὲρ τοῦ κόσμου πρεσβεύοντα Κυρίῳ, τὸν θεῖον Ἱεράρχην τοῦ Παντοκράτορος.

Νεῖλον τὸν χρυσόρρειθρον καὶ πηγὴν τῆς ἀθανασίας Ἀθανάσιον τὸν κλεινὸν τὸν τὴν Οἰκουμένην ἀρδεύοντα πλουσίως, σεπταῖς διδασκαλίαις ὕμνοις τιμήσωμεν.

Λύσιν τῶν πταισμάτων μου καὶ δεινῶν, αἴτησαι εὑρεῖν με, Ἀθανάσιε τὸν Χριστόν, καὶ σοὶ παραστῆναι, μετὰ σαρκὸς τὴν λύσιν, κἂν μέγα Θεοφάντορ ᾖ τὸ αἰτούμενον.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Εἶτα τὸ Τρισάγιον, κ.τ.λ. Ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν.

Καὶ ψάλλομεν τὰ παρόντα Τροπάρια· ἦχος πλ. Β΄.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς.

Δόξα Πατρί. Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γάρ.

Καὶ νῦν Θεοτοκίον. Τῆς εὐσπλαγχνίας τὴν πύλην

Εἶτα μνημονεύει ὁ ἱερεύς· καὶ ποιεῖ τὴν Ἀπόλυσιν.

Καὶ ἀσπάζονται οἱ Ἀδελφοὶ τὴν εἰκόνα τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἀθανασίου, ψάλλοντες τὰ παρόντα Τροπάρια· ἦχος Β΄.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Πάντων προστατεύεις ἐν σπουδῇ, τῶν καταφευγόντων ἐκ



πόθου, τῇ σῇ ἐνθέῳ στοργῇ πάτερ Ἀθανάσιε· σὺ γὰρ ὡς θεῖος ποιμήν, τῶν πιστῶν Ἱεράρχης τε, Χριστοῦ χρηματίσας, παρρησίαν εὕρηκας ὡς τοῦ αὐτοῦ μιμητής· ὅθεν τὰς ἡμῶν παρακλήσεις, πρόσδεξαι καὶ δὸς ἡμῖν πᾶσι τὰς εὐεργεσίας σου τοῖς δούλοις σου.

*Θεοτοκίον·* ὅμοιον.

Πάντων προστατεύεις ἀγαθή, τῶν καταφευγόντων ἐν πίστει, τῇ κραταιᾷ σου χειρί· ἄλλην γὰρ οὐκ ἔχομεν, ἁμαρτωλοὶ πρὸς Θεόν, ἐν κινδύνοις καὶ θλίψεσιν, ἀεὶ μεσιτείαν, οἱ καταкαμπτόμενοι, ὑπὸ πταισμάτων πολλῶν, μῆτερ τοῦ Θεοῦ τοῦ ὑψίστου, ὅθεν σοὶ προσπίπτομεν· Ῥῦσαι, πάσης περιστάσεως τοὺς δούλους σου.

Ἕτερον ὅμοιον.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξον ἡμᾶς ὑπὸ τὴν σκέπην σου.

ΤΕΛΟΣ ΚΑΙ ΤΩι ΘΕΩι ΔΟΞΑ

ΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑ